(1) Ὁ Κουμ. ἐν τῇ ν. λ. Συναγ. νομίζει ἀδιαφόρους τὰς λ. ἐκνεύρισις καὶ ἐκνεύρωσις! ἐκνευρίζω καὶ ἐκνευρόω!

(2) Καθαίρω φαρμάκῳ.

(3) Ἐν τῷ Λεξικῷ προσσημειοῦται καὶ τὸ παράτυπον ἐξινιάζω καὶ τὸ ἐξινόω ἐπὶ τῆς αὐτῆς σημασίας, ὅπερ πάντως πλημμελές ἐστι, δέον κατὰ τὴν ἀναλογίαν νὰ σημαίνῃ ἐξινόω εἰς ἶνας μεταβάλλω.

(4) Ἐξιχώρωσις ἐπλάσθη ὑπὸ τοῦ ἀειμνήστου Ἀφεντούλη.

ἐξυλίζω = ἐξαιρῶ τὴν ὕλην, ἐξυλοῦμαι(1) = εἰς ὕλην μεταβάλλομαι,
ἐξυμενίζω = » τὸν ὑμένα, ἐξυμενοῦμαι = εἰς ὑμένα »
ἐκβολβίζω = » τὸν βολβόν(2), ἐκβολβοῦμαι = εἰς βολβὸν »
ἐκγλευκίζω = » τὸ γλεῦκος, ἐκγλευκοῦμαι = εἰς γλεῦκος »
ἐκγιγαρτίζω = » τὰ γίγαρτα, ἐκγιγαρτοῦμαι = εἰς γίγαρτα »
ἐκκαυλίζω = » τὸν καυλόν, ἐκκαυλοῦμαι(3) = εἰς καυλὸν »
ἐκκοκκίζω = » τοὺς κόκκους, ἐκκοκκοῦμαι = εἰς κόκκους »
ἐκκοιλίζω = » τὴν κοιλίαν,
ἐκμυελίζω = » τὸν μυελόν, ἐκμυελοῦμαι = εἰς μυελὸν »
ἐκπρεμνίζω = » τὸ πρέμνον, ἐκπρεμνοῦμαι = εἰς πρέμνον »
ἐκπυρηνίζω = » τὸν πυρῆνα, ἐκπυρηνοῦμαι = εἰς πυρῆνα »
ἐκκορίζω = » τοὺς κόρεις, καθαίρω.

Ἐν τοῖςδε δὲ εὕρηνται μὲν παρὰ τοῖς ἀρχαίοις τὰ ἑξῆς εἰς -οω -οῦμαι, ποθοῦνται δὲ τὰ ἑξῆς εἰς -ιζω ἀντίστοιχα·

ἐξαιγειροῦμαι = εἰς αἴγ. μεταβάλλομαι, ἐξαιγειρίζω = ἐξαιρῶ τὰς αἰγείρ.,
ἐξαιθεροῦμαι = εἰς αἰθέρα » -ίζω = » τὸν αἰθέρα,
ἐξαεροῦμαι = εἰς ἀέρα » -ίζω = » τὸν ἀέρα,
ἐξελαιοῦμαι = εἰς ἔλαιον » -ιίζω = » τὸ ἔλαιον,
ἐξηπιαλοῦμαι = εἰς ἠπίαλον »
ἐξυδατοῦμαι(4) = εἰς ὕδωρ » -ίζω = » τὸ ὕδωρ,
ἐκδᾳδοῦμαι = εἰς δᾷδας » -ίζω = » τὴν δᾷδα,
ἐκδιθυραμβοῦμαι = εἰς διθύραμβον μεταβάλλομαι,
ἐκδρακοντοῦμαι = εἰς δράκ. μεταβάλλομαι, -ίζω = » τὸν δράκ.,
ἐκγαλακτοῦμαι = εἰς γάλα » -ίζω = » τὸ γάλα,
ἐκκληματοῦμαι = εἰς κλῆμα » -ίζω = » τὸ κλῆμα,
ἐκλοχμοῦμαι = εἰς λόχμην » -ίζω = » τὴν λόχμην,
ἐκνεφοῦμαι = εἰς νέφος »

(1) Ἐν τῷ ἀρχ. Λεξ. σημειοῦται ἐξυλόω = ὑλοκοπῶ, ψιλῶ τὸν ἀγρόν.

(2) Ἐν τῷ Λεξικῷ τοῦ Κωνστ. σημειοῦται σημαῖνον γυμνῶ τὸν βολβὸν ἐκ τοῦ περιλωπίσματος, οἱονεὶ ἐξαιρῶ τὸν βολβὸν ἐκ τοῦ φλοιοῦ, ἀπογυμνῶ· ἀλλ' ὅμως ὁ Ἡσύχ. διδάσκει· ἐκβολβίσαι = ἐκ ῥιζῶν ἀνασπάσαι.

(3) Τὸ μὲν ἐκκαυλοῦται κατὰ τὸ Λεξ. σπάνιον, σύνηθες δὲ τὸ ἐκκαυλέω· πρβλ. τὸ τῆς συνηθ. καυλώνω.

(4) Ἐν τῷ Λεξικῷ σημειοῦται ἐξυδατίζω = ἐξυδατόω, δέον κατὰ τὴν ἀναλογίαν νὰ σημαίνῃ ἐξαιρεῖν τὸ ὕδωρ.

ἐκξυλοῦμαι	=εἰς ξύλον	μεταβάλλομαι	ἐκξυλίζω=	ἐξαιρῶ	τὸ ξύλον,
ἐκπαπποῦμαι	=εἰς πάππον	»	-ίζω=	»	τὸν πάππον
ἐκπνευματοῦμαι	=εἰς πνεῦμα	»	-ίζω=	»	τὸ πνεῦμα,
ἐκσυριγγοῦμαι	=εἰς συρίγγιον	»			
ἐκχιλοῦμαι	=εἰς χιλὸν	»	-ίζω=	»	τὸν χιλόν.

Ἀμφότερα δὲ τὰ μέλη ποθοῦνται ἐν τοῖσδε·

ἐξαδενίζω	=ἐξαιρῶ	τὸν ἀδένα,	ἐξαδενοῦμαι	=εἰς ἀδένα	μεταβάλλομαι,
ἐξοδοντίζω	= »	τὸν ὀδόντα,	ἐξοδοντοῦμαι	=εἰς ὀδόντα	»
ἐξαραχνίζω	= »	τὴν ἀράχνην,	ἐξαραχνοῦμαι	=εἰς ἀράχνην	»
ἐξαιρίζω(1)	= »	τὴν αἶραν,	ἐξαιροῦμαι	=εἰς αἶραν	»
ἐκβραχίζω	= »	τὸν βράχον,	ἐκβραχοῦμαι	=εἰς βράχον	»
ἐκδενδρίζω	= »	τὰ δένδρα,	ἐκδενδροῦμαι(2)	=εἰς δένδρον	»
ἐκδασίζω	= »	τὸ δάσος,	ἐκδασοῦμαι	=εἰς δάσος	»
ἐκδαφνίζω	= »	τὴν δάφνην,	ἐκδαφνοῦμαι	=εἰς δάφνην	»
ἐκστελεχίζω	= »	τὸ στέλεχος,	ἐκστελεχοῦμαι	=εἰς στέλεχος	»
ἐξαλσίζω	= »	τὸ ἄλσος,	ἐξαλσοῦμαι	=εἰς ἄλσος	»
ἐκφλοΐζω	= »	τὸν φλοιόν,	ἐκφλοιοῦμαι	=εἰς φλοιὸν	»
ἐκφυλλίζω(3)	= »	τὰ φύλλα,	ἐκφυλλοῦμαι	=εἰς φύλλα	»
ἐκφελλίζω	= »	τὸν φελλόν,	ἐκφελλοῦμαι	=εἰς φελλὸν	»
ἐκμαλλίζω	= »	τὸν μαλλόν,	ἐκμαλλοῦμαι	=εἰς μαλλὸν	»
ἐκβαμβακίζω	= »	τὸν βάμβακα,	ἐκβαμβακοῦμαι	=εἰς βάμβακα	»
ἐκβουτυρίζω(4)	= »	τὸ βούτυρον,	ἐκβουτυροῦμαι	=εἰς βούτυρον	»
ἐκχονδρίζω(5)	= »	τὸν χόνδρον,	ἐκχονδροῦμαι	=εἰς χόνδρον	»
ἐξαμπελίζω	= »	τὴν ἄμπελον,	ἐξαμπελοῦμαι(6)	=εἰς ἄμπελον	»
ἐκζωμίζω	= »	τὸν ζωμόν,			

(1) Ἐν τῇ τοῦ Κουμανούδη νέων λέξ. Συναγωγῇ εὕρομεν τάδε· ἐξαεριοῦμαι = εἰς ἀέριον μεταβάλλομαι, ἐξαλατοῦμαι (Ἀφεντούλης), ἐξυαλοῦμαι.

(2) Διακριτέον τὰ ἐκδενδροῦμαι=εἰς δένδρον μεταβάλλομαι, δενδρώδης γίνομαι, ἀποδενδροῦμαι καὶ καταδενδροῦμαι=τέλεον ὑπὸ δένδρων καλύπτομαι, ὑποδενδροῦμαι=ὀλίγον δενδροῦμοι, ὀλίγα δένδρα κτῶμαι· παρὰ τοῖς Βυζ. ἐκδενδρόω=δενδροτομῶ.

(3) Τὸ ἀρχ. Λεξ. ἔχει μόνον τὸ ἁπλοῦν φυλλίζω=φυλλολογῶ.

(4) Ἡ λέξις ἐπλάσθη ἤδη καὶ ἐν πολλῇ χρήσει ἐστίν, ὡς καὶ τὸ ἐκβραχίζω, ἐκβραχισμός.

(5) Ἐν τῇ Ἰατρικῇ ὅταν ὁ ἰατρὸς ἐξαιρῇ τὸν σπλῆνα, τὸν νεφρόν, τὸ ἧπαρ, τὴν ἀμυγδαλῆν, δυνάμεθα εἰσαγαγεῖν τοὺς ὅρους, ἐκσπληνίζω, ἐκνεφρίζω, ἐξηπατίζω, ἐξαμυγδαλίζω· ἐν τῷ ἀρχ. λεξικῷ σημειοῦται καὶ τὸ ἐξαμυγδαλοῦν=ἀμυγδαλοειδῆ κοσμήματα ποιεῖν.

(6) Πρόσθες καὶ ἐκσταφιδοῦμαι, ἐκκοτινοῦμαι, ἐκπιτυοῦμαι, ἐκκυπαρισσοῦμαι, ἐκφοινι-

Δ'.

ἐκ = ποιεῖν.

Ἐν τοῖς ἡγουμένοις (1) εἴδομεν, ὅτι τὰ μετὰ τῆς ἐκ σύνθετα σημαίνουσι τὸ τέρμα εἰς ὃ ἡ τῆς κινήσεως ἢ καταστάσεως μεταβολὴ καταλήγει· ἀλλ' ἐκεῖ ἐσημειώθησαν ῥήματα μόνον εἰς -οω λήγοντα, ὧν τὰ πλεῖστά εἰσι μέσης διαθέσεως ὡς ἀναφερόμενα εἰς ὄντα, ἅτινα φύσει τὴν μεταβολὴν ἀφ' ἑαυτῶν λαμβάνουσιν· τὰ δ' ἁπλᾶ τούτων παρὰ τοῖς Ἕλλησι πάντων σχεδὸν ἄχρηστα φαίνονται ὄντα.

Ἐνταῦθα δὲ προσθετέον καὶ ἑτέραν τάξιν συνθέτων, σημαινόντων ὡσαύτως μεταβολὴν καταστάσεως, ὧν δηλαδὴ ἡ μὲν ἐκ δηλοῖ τὴν ἀρχὴν τῆς κινήσεως ἢ καταστάσεως, τὸ δὲ β' συνθετικὸν ἐμφαίνει τὸ τέρμα εἰς ὃ αὕτη καταλήγει· τῶν συνθέτων δὲ τούτων τὰ ἁπλᾶ, τῶν μὲν ἄχρηστά εἰσι, τῶν δὲ ἀμετάβατα ὄντα διὰ τὴν μετὰ τῆς προθέσεως σύνθεσιν μεταβατικὰ γίνονται.

Καὶ τῆς τάξεως δὲ ταύτης παραδείγματα ἔστωσάν μοι τάδε· καὶ α' μὲν τῶν εἰς -ιζω -αζω ληγόντων·

ἐξαγροικίζω (2) τινὰ = (ἐκ μὴ ἀγροίκου) ἄγροικόν τινα ποιῶ. τὸ ἁπλοῦν ἀγροικίζω ἄχρηστόν ἐστι, τὸ μέσον ἀγροικίζομαι = ἄγροικός εἰμι ἢ ἀγροίκως φέρομαι.

ἐξαργυρίζω = ἐξαργυρόω = εἰς ἄργυρον μεταβάλλω, μετατρέπω εἰς ἄργυρον, εἰς χρήματα· τὸ ἁπλοῦν ἀργυρίζω (3) = τὸ τοῦ ἀργύρου χρῶμα ἔχω.

χοῦμαι, ἐκμυρσινοῦμαι, ἐκπευκοῦμαι, ἐκκαλαμοῦμαι (καλαμοῦμαι ἀρχ.), ἐκκεδροῦμαι, ἐκκισσοῦμαι (κισσόω=κισσῷ κοσμῶ), ἐξαρχευθοῦμαι.

(1) Πρβλ. σελ. 125.

(2) Τὴν ἰδιότητα ταύτην τὴν τῆς ἐκ παρὰ τοῖς Ἕλλησι, παρὰ τοῖς Γάλλοις ἔχουσι καὶ ἄλλαι προθέσεις· Πρβλ. *af*faiblir, *as*sainir, *el*argir, *en*hardir, *en*noblir, *en*richir καὶ τὸ Γερμ. *be*. Leben=ζῆν,—beleben=ζωοποιεῖν, Kümmern=ἀνιᾶσθαι, *be*kümmern=ἀνιᾶν· ruhen=ἠρεμεῖν, *be*ruhigen=ἠρεμίζειν. Πρβλ. ἐπὶ τῆς αὐτῆς σημασίας καὶ τὴν ἐπὶ π. χ. ἀληθεύω-ἐπαληθεύω τι, (οὐλόω)-ἐπουλῶ τι, οὐρίζω-ἐπουρίζω τι, (εὐωνίζω)-ἐπευωνίζω τι.

Πρβλ. Τοῦ λαοῦ νῦν ξε. π. χ. ξεγεννῶ = ποιῶ τινα γεννῆσαι = μαιεύομαι-μαιοῦμαί τινα, λοχεύω, ἐκλοχεύω—ξελεχονιάζω.

(3) Πρβλ. χρυσίζω, σιδηρίζω, πορφυρίζω κλπ.

ἐξαττικίζω (1) = ποιῶ τι Ἀττικόν, ποιῶ τινα ἀττικίζειν· τὸ ἁπλοῦν ἀττικίζω = τοὺς Ἀττικοὺς μιμοῦμαι, τὰ τῶν Ἀττικῶν φρονῶ· (πρβλ. λέξεις ἐξηττικισμέναι).

ἐξελληνίζω = Ἑλληνά τινα ἢ Ἑλληνικόν τι ποιῶ· τὸ ἁπλοῦν ἑλληνίζω ἀμετβτ.

ἐξαμφοτερίζω = ποιῶ τι ἀμφοτέρως ἔχειν· ποιῶ τι ἀμφοτερίζειν· τὸ δὲ ἁπλοῦν ἀμφοτερίζειν καὶ ἐπαμφοτερίζειν = ἀμφοτέρως ἔχειν (ἀμεταβάτως δῆλα δή).

ἐξαλμίζω = ἁλμυρόν τι ποιῶ· τὸ δὲ ἁπλοῦν ἁλμίζω = ῥαίνω τι, ῥαντίζω ἢ βρέχω ἅλμῃ.

ἐξαιθριάζω τὸ ὕδωρ = εἰς τὴν αἰθρίαν, εἰς τὸ ὕπαιθρον ἐκτίθημι, ὅπως καταστήσω ψυχρόν·—ἐξαιθριάζουσιν ἐν ὑδρίαις κεραμεαῖς ἐπὶ τῶν μετεωροτάτων μερῶν τῆς οἰκήσεως.—ὕδωρ ἐξαιθριασθὲν οὐδὲν χιόνος ἀποδεῖ.—αἰθριάζειν = αἴθριον ποιεῖν ἀντίθ. ἐπινεφῆ, αἰθριᾶν = αἴθριον εἶναι.

ἐξιδιάζομαι = ἐξιδιοῦμαι, ἰδιοποιοῦμαι, ἴδιόν τι ποιοῦμαι· τὸ ἁπλοῦν ἰδιάζω = ἔχω τι τὸ ἴδιον, ἰδιότροπός εἰμι, διάφορος τῶν ἄλλων εἰμί.

ἐξυπνίζω (τινὰ) = ἔξυπνον ποιῶ, ἐκ τοῦ ὕπνου τινὰ ἐγείρω· τὸ ἁπλοῦν ὑπνίζω ἄχρηστόν ἐστιν.

ἐκθειάζω = θεοποιῶ τι, θαυμαστόν τι ὑπολαμβάνω, ἐγκωμιάζω ὡς θεῖον· τὸ ἁπλοῦν θειάζειν = περὶ τὰ θεῖα καταγίνεσθαι, τὰ θεῖα συμβουλεύεσθαι· πρβλ. θειασμός.

ἐκρᾳστωνίζω τι = ῥᾷστόν τι ποιῶ· ἐκρᾳστωνίσαι = εὐχερὲς ἀποφῆναι· Ἡσυχ. ῥᾳστωνεύω = ἐν ῥᾳστώνῃ εἰμὶ ἢ διάγω.

β΄ δὲ παραθώμεθα καὶ ἄλλων καταλήξεων ῥήματα· π.χ.

ἐξαγριαίνω τινὰ = ποιῶ τινα ἄγριον, τὸ ἁπλοῦν ἀγριαίνω τινὶ ἢ πρός τινα = ἄγριός εἰμι, ἀγρίως φέρομαι· τὸ δὲ ἐξαγριόω (τὴν χώραν) ἀντιθ. τῷ ἐξημερόω.

(1) Κατ' ἀναλογίαν πλεῖστα τοιαῦτα δύναταί τις νὰ σχηματίσῃ· ἐξιωνίζω, ἐξαιολίζω, ἐκδωρίζω, ἐξευρωπαΐζω, ἐξαμερικανίζω, ἐκλατινίζω, ἐκρωμαΐζω, ἐκρωσίζω· τοιαῦτα δὲ μυρία ἀναγινώσκει τις ἐν τῇ ν. λ. συναγωγῇ τοῦ Κουμανούδη σχηματισθέντα ὑπὸ τῶν νέων Ἑλλήνων.

(2) Διὰ τὴν σημασίαν ταύτην τῆς **ἐκ** (= τοῦ ποιεῖν) καὶ πολλὰ ῥήματα ἁπλᾶ σημαίνοντα τὸ ποιεῖν συντίθενται τῇ προθέσει ταύτῃ, ἵνα σαφεστέραν τὴν ἑαυτῶν σημασίαν ἐκδηλώσωσιν π.χ. ἐξ-αφανίζω, ἐξ-ασφαλίζω, ἐξ-ευγενίζω, ἐξ-ευμενίζω, ἐξ-ευδιάζω, ἐξ-ευτελίζω, ἐξ-ευμαρίζω, ἐξ-ευτρεπίζω, ἐξ-ευχερίζω, ἐξ-ορθιάζω, ἐξ-ουδενίζω, ἐξ-υγιάζω, ἐξ-ωραΐζω, ἐκ-γαληνίζω.

ἐξαρέσκομαί (τινα)=ποιῶ τινα ἀρέσκεσθαί μοι, ἐξευμενίζω, ἐξιλεῶ· τὸ ἀρέσκομαί τινι (ἀμεταβ.)=ἱκανοποιοῦμαι, εὐαρεστῶ, εὑρίσκω τι ἀρεστόν.

ἐξευλυτῶ (τὸ χρέος)=ἐντελῶς ἀποτίνω· πρβλ. καὶ διευλυτέω (ὁ τύπος -όω πλημμελής)· τὸ ἁπλοῦν εὐλυτεῖν ἄχρηστον. πρβλ. (εὐτακτεῖν)—ἀπευτακτεῖν τοὺς φόρους. Στράβ.

ἐξευπορῶ (τι)=ποιῶ εὐπορεῖν, εὐπόρως, ἀφθόνως, δαψιλῶς παρέχω τι·—ἐξ. ἐπικουρίαν ταῖς χρείαις=δαψιλῶς πορίζω. Πλάτ.

ἐξομηρεύω τινὰ=ποιῶ, ἐξαναγκάζω τινὰ δοῦναι ὁμήρους, ἐξομηρεύομαι=λαμβάνω ὁμήρους· τὸ δὲ ἁπλοῦν ὁμηρεύω=ὅμηρός εἰμι ἢ ὑπάγω.

ἐξομιλῶ τινα=τῇ ὁμιλίᾳ, συναναστροφῇ κατακτῶμαί τινα· πρβλ. καὶ καθομιλῶ τινα· τὸ ἁπλοῦν ὁμιλῶ τινι (ἀμετβτ.).

ἐξυδαρόω=ὑδαρές τι ποιῶ, (ὑδαρόω ἄχρηστον).

ἐκβακχεύω=ποιῶ τινα βακχεύειν, εἰς βακχικὴν μανίαν ἐξάγω· τὸ ἁπλοῦν βακχεύω=βακχείαν ἢ βακχικῶς ἔχω, ἐνθουσιῶ, μαίνομαι.

ἐκγλισχραίνω=γλίσχρον τι ποιῶ· τὸ ἁπλοῦν γλισχραίνω = γλίσχρος, φειδωλός, μικρολόγος εἰμί· γλισχραίνομαι = κολλώδης, ὀλισθηρὸς γίνομαι, γλισχρεύομαι (μεταφορ.) =φειδωλός, γλίσχρος γίνομαι = γλισχρολογοῦμαι.

ἐκσιωπῶ=ποιῶ τινα σιωπῆσαι, ἐξαναγκάζω εἰς σιωπήν.

ἐκχωρῶ τι=ποιῶ τι χωρῆσαί ποι, εἰς ἄλλον τινά, παραδίδωμί τινί τι· τὸ ἁπλοῦν χωρῶ ἀμεταβάτως. Πρβλ. καὶ

ἐκπροσωπῶ τινα=ἔκ τινος προσώπου εἰμί, ποιῶ τά τινος, τὰ ἔργα προσώπου τινός, εἰμὶ ἀντὶ ἄλλου προσώπου, ἀναπληρῶ τινα.

Τούτοις προσθετέον καὶ τὸ

ἐκπονῶ τι=πόνοις ἢ πονῶν ποιῶ τι, κτῶμαι·

ἐκμοχθῶ τι=μόχθοις ἢ μοχθῶν ἐξεργάζομαι, ποιῶ τι, ἐν ᾧ τὰ ἁπλᾶ πονῶ, μοχθῶ ἐπί τινι, περί τι, ὑπέρ τινος (ἀμεταβ.).

Ἐν τῇ τοῦ Κουμανούδη νέων λέξεων συναγωγῇ ἀναγινώσκει τις πλασθέντα κατ' ἀναλογίαν πρὸς τὰ προκείμενα καὶ τάδε· ἐξαισθηματίζω τι=ποιῶ τι αἰσθηματικόν, ἐξαντικειμενίζω (όω)=ποιῶ τι ἀντικειμενικόν, ἐξυποκειμενίζω (όω), ἐξαϋλίζω, ἐξαρχαΐζω, ἐξισορροπῶ τι.

Ε΄.

ἐκ = ἐξαιρεῖν, ἐκβάλλειν, τὸ β΄ συνθετικὸν = πῶς.

Ἐν ἄλλοις δ' αὖ συνθέτοις ἡ μὲν ἐκ ἔχουσα οἱονεὶ ῥηματικὴν ἔννοιαν δηλοῖ τὸ ἐξαιρεῖν, ἐκβάλλειν, ἐξιέναι, τὸ δὲ β΄ συνθετικὸν σημαίνει τὸ πῶς ἤτοι τὸν τρόπον, καθ' ὃν ἡ ἐξαίρεσις, ἐκβολή, ἔξοδος γίνεται· παραδείγματα καὶ τούτων ἔστωσάν μοι τάδε·

ἐξαναγκάζω = τῇ ἀνάγκῃ ἐκβάλλω· ἐξ. τὴν ἀργίαν πληγαῖς. Ξεν. Πρβλ. ἐκβιάζομαι.

ἐξεγγυῶ τινα = ἐγγυώμενος ἢ δι' ἐγγυήσεως ἐξαιρῶ τινα, ἐξελευθερῶ· ἐγγυῶ τινί τι = δίδωμί τι ὡς ἐγγύησιν, ἐνέχυρον.

ἐξεριθεύομαι(1) = ἐριθευόμενος, σπουδαρχῶν δελεάζω, ἀποπλανῶ τινα· ἐξ. τοὺς νέους· τὸ ἁπλοῦν ἐριθεύεσθαι = σπουδαρχεῖν, δημαγωγεῖν, ἐπιζητεῖν τὴν εὔνοιαν τοῦ ὄχλου· πρβλ. ἐριθεία, ἀνερίθευτος.

ἐξιπόω -ῶ = ἰπῶν ἢ διὰ τοῦ ἶπου (= πιεστηρίου) ἐξαιρῶ τι.

ἐκβροντάω -ῶ = βροντῶν ποιῶ τινα ἐξελθεῖν ἑαυτοῦ, ταῖς βρονταῖς ἐξίστημί τινα· πρβλ. καὶ ἐκβρόντητος, ἐμβρόντητος, ἐμβροντῶ = ἐν ταῖς ἀκοαῖς τινος βροντῶν ἐξίστημι αὐτόν· τὸ ἁπλοῦν βροντῶ = βροντὴν ποιῶ· πρβλ. ἐκπλήττω = πλήττων, ἐκβάλλω τι· ἐκπλ. τὸ λυπηρὸν τῆς ψυχῆς· β΄ = πλήττων ἐξίστημί τινα ἑαυτοῦ· πρβλ. ἐκκρούω, ἐκκόπτω. ἐκκεντῶ = κεντῶν ἐκβάλλω· ἐκκ. ὄμματα = ἐξορύττω.

ἐκδονῶ = δονῶν ἐκβάλλω τινά· πρβλ. ἐκπάλλω.

ἐκθορυβῶ = θορυβῶν ποιῶ τινα ἐκπλαγῆναι, ἐκστῆναι· θορυβῶ δὲ = θόρυβον παράγω· πρβλ. ἐκψοφῶ, ἐκσυρίττω, ἐκραβδίζω.

ἐκκυβιστῶ = κυβιστῶν ἐξέρχομαι, ἐκφεύγω π.χ. κύκλος εἰσηνέχθη περίμεστος ξιφῶν ὀρθῶν· εἰς οὖν ταῦτα ἡ ὀρχηστρὶς ἐκυβίστα καὶ ἐξεκυβίστα ὑπὲρ αὐτῶν. Ξενοφ.

(1) Πρβλ. τὸ τῆς συνηθείας ξελογιάζω τινὰ = μὲ τα λόγια ἐξαπατῶ τινα, τοῦ ἐξαιρῶ τὸν νοῦν, παράγω, ἀποβουκολῶ τινα λόγοις, ἀποπλανῶ πρβλ. παράφημι, πάρφασις (= ξελογίασμα)·

πάρφασις ἥτε ἔκλεψε νόον πύκα περ φρονεόντων.

ἐκκυκλέω -ῶ=κυκλῶν ἤτοι ἄγων ἐπὶ τροχηλάτου μηχανήματος φέρω τι ἔξω καὶ ἐπιδεικνύω· κύκλα γὰρ οἱ τροχοὶ ἢ τὰ τροχήλατα ὀχήματα (πρβλ. καὶ τετράκυκλα)· πρβλ. ἐκκυλίνδω=κυλίνδων φέρω τι ἔξω, ἐκβάλλω.

ἐκλούω=λούων τι ἀποβάλλω, καθαίρω· πρβλ. ἐκκαθαίρω.

ἐκνιτρόω -ῶ(1)=διὰ νίτρου πλύνω, καθαίρω τι· πρβλ· ἐκρύπτω.

ἐκλατομῶ=λατομῶν ἐξαιρῶ τι, ἐκβάλλω.

ἐκλιθολογῶ=λιθολογῶν, συλλέγων τοὺς λίθους ἔκ τινος καθαίρω αὐτό. Θεόφρ. τὸ ἁπλοῦν λιθολογῶ=λίθους συλλέγω.

ἐκπολιορκῶ = πολιορκῶν ἀναγκάζω τινα εἰς παράδοσιν· πρβλ. ἐκπορθῶ.

ἐκπρίω=πρίων ἢ διὰ τοῦ πρίονος ἐξαιρῶ, ἐκβάλλω τι· πρβλ. ἐκμοχλεύω.

ἐκτοιχωρυχῶ = τοιχωρυχῶν ἐξαιρῶ τι καὶ μεταφορ. = βίᾳ ἀφαιρῶ· τοιχωρυχῶ=τοίχους ὀρύττω.

ἐκτρυπῶ τι(2) = τρυπῶν ἐξέρχομαι, λάθρᾳ ἐξέρχομαι, παρεξέρχομαι, παρεκδύομαι· ἀντίκειται δὲ τούτῳ τὸ εἰστρυπῶ =τρυπῶν τι εἰσδύομαι=παρεισδύομαι, παρεισέρχομαι, λάθρᾳ εἰσχωρῶ ποι.

ἐκφυλλοφορῶ=φυλλοφορῶν ἐκβάλλω τινά, ἐξορίζω καταδικάζων· διότι κατὰ τὴν δίκην αἱ ψῆφοι ἦσαν φύλλα (ἐλαίας), ἐφ' ὧν ἦτο γεγραμμένη ἡ γνώμη τοῦ ψηφιζομένου ἢ δικάζοντος Αἰσχίν. φυλλοφορῶ δὲ=φύλλα φέρω, φυλλοφυῶ.

ἐκκαλαμῶμαι=τῷ καλάμῳ τοὺς ἰχθῦς ἐκ τῆς θαλάσσης ἐξέλκω, ἐξάγω· καὶ καθόλου=ἀγρεύω.

Ἐνταῦθα προσθετέον καὶ ὀλίγα τινὰ εἰς -ίζω ῥήματα μετὰ τῆς **ἐκ** σύνθετα, ἐν οἷς ἡ μὲν πρόθεσις δηλοῖ ὡσαύτως τὸ ἐξαιρεῖν, ἐκβάλλειν, τὸ δὲ β΄ συνθετικόν, ὡς καὶ ἐν τοῖς προηγουμένοις, τὸν τρόπον, καθ' ὃν ἡ ἐξαίρεσις γίνεται· ἀλλὰ τῶν συνθέτων τῆς κατηγορίας ταύτης τὰ ἁπλᾶ ὡς ἐπὶ τὸ πλεῖστον ἄχρηστά εἰσιν· π.χ.

(1) Ξεθερμίζω=θερμῷ ὕδατι ἐκπλύνω, ἐκκαθαίρω. Τὸ δὲ ἐξιόω-ῶ=τὸν ἰὸν=τὴν σκωρίαν ἐξαιρῶ, ἀφαιρῶ· τὸ ἁπλοῦν ἰοῦται=ἰοῦ πληροῦται (τὸ μέταλλον). Ἀριστοτ.

(2) Ὅρα ὅτι ἡ συνήθεια παραλλάξασά πως τὸ εἰστρυπάω, ἐκτρυπάω λέγει ἀντ' ἐκείνου μὲν τρυπώνω, ἀντ' αὐτοῦ δὲ ξετρυπώνω (ἀμεταβάτως)· τὸ δὲ ξετρυπώνω τινά=ἀναγκάζω τινὰ ἐκ τῆς τρύπης αὐτοῦ ἐξελθεῖν, ἀναδῦναι, ἐξάγω.

ἐξαγκωνίζω τινὰ=τῷ ἀγκῶνι ἐξωθοῦμαί τινα, τῷ ἀγκῶνι ὠθῶν ἐκβάλλω τινά· πρβλ. παραγκωνίζω, προεξαγκωνίζω.

ἐξαγίζω (1)=ὡς ἄγος τινὰ ἐκβάλλω, ὥσπερ ἐναγῆ διώκω· πρβλ. ἐξάγιστος, ἀγηλατῶ.

ἐξητριάζω = διὰ τοῦ ἠτρίου ἐκπερῶ, διηθῶ· (ἠτριάζω ἄχρ.).

ἐκκορακίζω=(εἰσκορακίζω, ἀποσκορακίζω· πρὸς δὲ) δίκην κόρακος πλήττων ἐκβάλλω, ἐξαιρῶ τὸν ὀφθαλμόν, ἐξομματίζω.

ἐκπερδικίζω=ὡς πέρδιξ ἐκφεύγω· πρβλ. διαπερδικίζω, διεκπερδικίζω=πέρδικος δίκην διεξολισθάνω.

ἐκρινίζω=τῇ ρινὶ ἢ τῇ ὀσφρήσει ἀνιχνεύω, ἐξιχνεύω τινά, ῥινηλατῶν ἐξευρίσκω.

ἐκσφαιρίζω=σφαίρας δίκην ἐκβάλλω τινά, ὥσπερ σφαῖραν ἐξακοντίζω, ἐκρίπτω· (τὸ ἁπλοῦν σφαιρίζω=τὴν σφαῖραν παίζω, σφαιρίζομαι=δίκην σφαίρας κυλίομαι) (2).

ἐκχαρυβδίζω=Χαρύβδεως δίκην ἐξαιρῶ, ἐκροφῶ τι ὡς χάρυβδις, ἐκπίνω· πρβλ. ποντοχάρυβδις, μεθυσοχάρυβδις(3).

ἐξωκεανίζω (4)=τίθημί τι ἔξω τῆς καθ' ἡμᾶς (=τῆς μεσογείου) θαλάσσης ἤτοι ἐν τῷ Ὠκεανῷ. π.χ. ὁ ποιητὴς ἐξωκεανίζει τι μυθολογίας χάριν. Στράβ. πρβλ. καὶ ἐξωκεανισμός.

ϛ'.

ἐκ σημαίνει ἔξω, ἀπουσίαν, στέρησιν.

Ἐν τοῖς ἐφεξῆς συνθέτοις ἡ ἐκ σημαίνει πρῶτον τὸ ἔξω, τὸ ἔξω τινὸς εἶναι ἢ γίνεσθαι· ἀλλὰ γενόμενός τις ἐκτὸς καὶ πόρρω τινὸς πάντως καὶ στερεῖται αὐτοῦ· διὸ ἡ ἐκ καταντᾷ ἔν τισι νὰ σημαίνῃ καὶ τὴν ἀπουσίαν, στέρησιν· κατὰ ταῦτα ἡ ἐκ σημαίνει στέρησιν ἐκ μεταβολῆς, εἶτα δὲ ἁπλῶς καὶ ἀπολύτως στέρησιν=ἀ-στερητ.π.χ.

(1) Κατ' ἀναλογίαν πρὸς ταῦτα καὶ ἡ συνήθεια ἔπλασε τὸ (ἐ)ξιππάζω=δίκην ἵππου τινὰ ταράττω, ἐκπλήττω, καὶ (ἐ)ξιππάζομαι,=ὡς ἵππος ταράττομαι, πτύρομαι· 'ξιππασμένος.

(2) ἐκδισκεύω=ὥσπερ δίσκον ἐκρίπτω πρβλ. ἐξακοντίζω.

(3) Κατ' ἀναλογίαν πρὸς ταῦτα ἔπλασαν νῦν καὶ ρ. ἐκφαρυγγίζω (=τὸ αἷμα) διὰ τοῦ φάρυγγος ἐκβάλλω, ἐξακοντίζω.

(4) Πρβλ. τὸ της συνηθείας 'ξεκαμπίζω (τινὰ) = ἐξάγω τινὰ εἰς τὸν κάμπον, εἰς τὸ ἀναπεπταμένον μέρος.

ἔξαρθρος=ἐκεῖνος, οὗ ἐξέχουσι τὰ ἄρθρα ἢ αἱ ἀρθρώσεις.—ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασιν. Ἱπποκρ.

ἐξίσχιος=ἐκεῖνος, οὗ τὰ ἰσχία ἐξέχουσι·

ἐξόμματος καὶ ἐξόφθαλμος=οὗ οἱ ὀφθαλμοὶ ἐξέχουσιν ἢ προέχουσι(1)· διὸ οἱ τοιοῦτοι ὀφθαλμοὶ καλοῦνται προπετεῖς καὶ προπαλεῖς· ἀντίκειται δὲ τῷ ἐξόφθαλμος τὸ κοιλόφθαλμος· τὸ ἐξόφθαλμον οὐκ εὐωπὸν πόρρωθεν(2).

ἐξόμφαλος(3)=οὗ ἐξέχει ἢ προέχει ὁ ὀμφαλός. Κατὰ ταῦτα λέγεται ἔξοφρυς, ἐξώνυχος, ἔκρις(4)=ὁ ἔχων τὴν ῥῖνα ἐξέχουσαν, ὑψηλήν.

ἐξοχάδες=αἱμορροΐδες ἐξέχουσαι, ἀντίθ. δὲ ἐσοχάδες.

ἐξωμίζω=γυμνῶ (τὸν βραχίονα μέχρι τοῦ ὤμου), τὸν ὦμον.

ἐξωμίας=ὁ τοὺς βραχίονας μέχρι τῶν ὤμων γυμνοὺς ἔχων.

ἐξωμὶς=ἐσθὴς ἀχειρίδωτος τοὺς ὤμους ἔξω δηλ. γυμνοὺς λείπουσα· διὸ οἱ ταύτην φοροῦντες γυμνοὺς τοὺς ὤμους εἶχον· ἀντίθ. ἐπωμὶς=ἡ δι' ἧς ἐκαλύπτοντο οἱ ὦμοι.

ἔξωμος(5)=χιτὼν δουλικός, ὃν οἱ φοροῦντες γυμνοὺς τοὺς ὤμους εἶχον.

Ἐκ δὲ τῆς τοπικῆς σημασίας τοῦ ἔξω γεννᾶται ἡ χρονικὴ καὶ ἡ τροπικὴ ἤτοι ἡ τῆς ἀπουσίας, στερήσεως καὶ ἐλλείψεως(6), ὡς ἐν πολλοῖς τῶν ἑπομένων·

(1) Ἐπειδὴ τὴν αὐτὴν σημασίαν ἔχει καὶ ἡ πρὸ, ὑπάρχουσιν ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ ἐξ αὐτῆς σύνθετα, πρβλ. ἐκκαλῶ=προκαλῶ, ἐκκύπτω=προκύπτω, ἐξέχω=προέχω-ὑπερέχω, προέδρα=ἐξέδρα· (προκέφαλος=ὀξυκέφαλος), πρόθυμος-ἔκθυμος (ἀλλὰ πρόφρων-ἔκφρων, διάφορα)· πρβλ. πρόγλωσσος, προκοίλιος, προγάστωρ, προκέφαλος, προμέτωπος, προόδους, πρόχειλος, (ὀφθαλμοὶ) προπετεῖς, προφερεῖς, προπαλεῖς. Ἐν ἄλλοις αὖ πρὸς σαφεστέραν δήλωσιν τοῦ ἔξω, ἡ σύνθεσις ἐγένετο ἐκ τοῦ ἐξέχω, ἔξω· π. χ. ἐξεχέγλουτος, ἐξεχέβρογχος, ἐξώκαρπος, ἐξώμαλλον (ἱμάτιον), ἐξώστοον, ἐξώχωρος, ἐξωπολίτης, ἐξωπράτης.

(2) Ἀριστοτέλης.

(3) Ὑπὸ τοῦ Ἀφεντούλη ἐσχηματίσθη καὶ ἡ ἐξαμφάλωσις.

(4) Ἔκρις=ἐπίρρινος· πρβλ. προβοσκὶς—ἐπιβοσκίς.

(5) Εὐστόχως ὑπὸ τῶν νεωτέρων ἐλέχθη· (ἐσθὴς) ἔξωμος, ἐκτράχηλος, ἐξώμιος, ἐξωμισμοὶ (τὸ Γαλλ. decolletés)· κατὰ τὴν αὐτὴν ἀναλογίαν ἔπλασαν νῦν ἐκμάζιος=ἡ τοὺς μαστοὺς ἔξω, προβεβλημένους ἔχουσα.

(6) Ἐκ τῆς προθέσεως ἐκ ἐγένετο τὸ ἐπίρρημα ἐκτὸς (ἀντίθ. ἐντός) καὶ ἔξω (ἀντίθετον εἴσω), καὶ ἐξ αὐτοῦ τὸ οὐσιαστ. ἐκτότης=τὸ ἐκτὸς εἶναι, στερεῖσθαι· οὕτω λ. χ. ὁ Γαληνὸς εἶπεν ἐκτότης νόσου=ἀπουσία· ἐκ τῆς προθέσεως ἐκ προῆλθε καὶ τὸ ἔσχατος καὶ τὸ ἐπίρρ. ἑκὰς (ἀντίθ. ἐγγύς, ἄγχι), ἑκαστέρω, ἑκαστάτω.

ἐκγραφὴ=ἡ ἐκ τοῦ καταλόγου ἀπάλειψις·
ἐκδιαιτῶμαι=ἐκ τῆς διαίτης, τῆς συνήθους καὶ τεταγμένης ἐξέρχομαι εἰς ἄτακτον καὶ κακήν, θρύπτομαι, φθείρομαι· διὸ
ἐκδεδιῃτημένως=θρυπτικῶς·
ἐκμαρτυρία=ἡ ἔξω τοῦ δικαστηρίου γινομένη·
ἐκπατῶ=ἐξέρχομαι τοῦ πάτου, τῆς κοινωνίας·
ἔκβιος=ἔξω τοῦ βίου.
ἐκγενὴς=ἐκ τοῦ γένους, τῆς οἰκογενείας ἐκβληθείς.
ἐκτράπεζος=ὁ ἔξω τῆς τραπέζης γενόμενος, ἀποβληθείς.
ἐκπρόθεσμος=ὁ ἐκτὸς τῆς προθεσμίας ὤν, ἀντιθ. ἐμπρόθεσμος.
ἔκκαιρος=ὁ ἔξω τοῦ καιροῦ, ἀπηρχαιωμένος· ἀντιθ. ἔγκαιρος =ὁ ἐν καιρῷ ὤν, καίριος.
ἔκθεσμος=ἄθεσμος, ἀντιθ. ἔνθεσμος.
ἔκκεντρος=ὁ ἔξω τοῦ κέντρου ὤν, ἀντιθ. σύγκεντρος, ἐπίκεντρος, κεντρικός(1).
ἐκπαλαίω=ἐξέρχομαι τῶν κανόνων τῆς πάλης.
ἐκπαλὴς=ἔξαρθρος.
ἐκπαλέω-ῶ=ἐκτινάσσομαι ἐκ τοῦ ἄρθρου, ἐξαρθροῦμαι.
ἐκκέλευθος=ὁ ἔξω τῆς κελεύθου ὤν· πρβλ. παράβυστος.
ἐκμελὴς=πλημμελής, ἀντιθ. ἐμμελής· πρβλ. ἐξαρμόνιος.
ἔκμετρος=ἄμετρος· ἀντιθ. σύμμετρος, ἔμμετρος, μέτριος.
ἔκνομος=ὁ ἔξω τοῦ νόμου, ὁ ἄνομος· ἀντίθ. ἔννομος.
ἐκποδὼν=ἔξω τῶν ποδῶν, μακράν· ἐκπ. εἶναι, γίγνεσθαι, ἀπαλλάττεσθαι, ἔχω, ἄγω τινά· ἀντίθ. ἐμποδών.
ἔκρυθμος=ἄρρυθμος, ἀντιθ. ἔνρυθμος, ῥυθμικός.
ἔκσκευος=ἄσκευος, ἀντιθ. ἔνσκευος.
ἔκτονος=παράτονος, ἀντιθ. ἔντονος· πρβλ. ἐκμελής, ἔξηχος καὶ ἐξαρμόνιος.
ἔκτοπος=ἔξω τοῦ τόπου, ξένος, ἀλλόκοτος, ἄτοπος, ἀντιθ. ἔντοπος, ἐντόπιος.
ἐκτράπελος=ἔκτροπος, ἀήθης, παράδοξος· ἀντιθ. εὐτράπελος.
ἔκφυλος (2)=ἔξω τῆς φυλῆς, ξένος· ἀντιθ. ἔμφυλος β´=ἐξεστηκὼς τοῦ γένους, ἀλλόκοτος·

(1) Ἐπὶ διαφόρου σημ. τὸ ἄκεντρος ἀντίθ. ἔγκεντρος, κεντρωτός, κεκεντρωμένος (κηφήν).

(2) Οἱ νῦν ἔπλασαν καὶ τὸ ῥ. ἐκφυλίζομαι=ἔκφυλος γίνομαι καὶ τὸ οὐσιαστ. ἐκφυλισμός, ἐκφύλισις.

ἐξαγώνιος=ὁ ἐκτὸς τοῦ ἀγῶνος ὤν· «παρέκβασις=λόγος ἐξαγώνιοςμέν, συναγωνιζόμενος δὲ πρὸς τὸν ἀγῶνα»(1).

ἔξαθλος=ὁ ἔξω τοῦ ἄθλου ἤδη γενόμενος, ὁ μηκέτι ἀθλεῖν ἢ ἀθλητεύειν δυνάμενος· ἀντίθ. ἀθλητικός.

ἔξαιμος=οὗ ἐξηρέθη τὸ πλεῖστον αἷμα, λίφαιμος.

ἐξακμάζω=ἐξέρχομαι τῆς ἀκμῆς, παύομαι ἀκμάζων, παρακμάζω, ἀπακμάζω.

ἔξαλος (2)=ὁ τῆς ἁλὸς ἐξέχων, ἀντιθ. ὕφαλος, ἔναλος.

ἔξαλλος=ἔξω ἑαυτοῦ γενόμενος καὶ ἄλλος καταστάς, ἀλλόκοτος·

ἐξάνθρωπος=ὁ ἔξω τῆς ἀνθρωπίνης φύσεως ὢν καὶ ἀπάνθρωπος· ἢ καὶ μεταβατ. ὁ ἐκμαίνων τινά.

ἔξαρθρος=οὗ αἱ ἀρθρώσεις διελύθησαν.

ἔξαρμος (3)=οὗ τὰ μέλη, οἱ ἁρμοὶ ἔπαθον, ἐξηρθρωμένος.

ἐξαρμόνιος πρβλ ἐκμελής, ἔκτονος, ἔξηχος=παράχορδος· παράτονος.

ἐξανθῶ (4) σημαίνει προσέτι καὶ ἀποβάλλω τὸ ἄνθος, τὴν ζωηρότητα· β΄ ἐπὶ χρωμάτων· τυχὺ γὰρ ἐξανθεῖ τὸ μίλτινον. Πλούτ. πρὸς δὲ=ξεθυμαίνω ἐπὶ τοῦ οἴνου· ἐξανθεῖ γὰρ καὶ ἀποπνεῖ. Πλούτ.

ἔξαυλος=αὐλὸς ἄχρηστος ἐκ τῆς πολλῆς χρήσεως.

ἐξαυλέω=διὰ τῆς πολλῆς χρήσεως φθείρω τι· «ἐξηυλημέναι γλῶτται»=τοῦ αὐλοῦ αἱ παλαιαὶ γλωττίδες, αἱ ἄχρηστοι ἤδη.

ἔξεδρος=ἔξω τῆς ἕδρας, μακράν, ἐξέδρα=ἐξέχουσα ἕδρα, αἴθουσα.

ἔξηβος=ὁ ἔξω ἤδη τῆς ἥβης γενόμενος=πάρηβος, πρβλ. πρόσηβος, ἔνηβος, ἔφηβος.

ἐξέφηβος=ὁ τὴν ἐφηβικὴν ἡλικίαν ἐξελθών, παρελθών.

ἐξῆλιξ=ὁ τὴν ἡλικίαν τὴν νεαρὰν ἐξελθών=παρῆλιξ, ὑπερῆλιξ.

ἔξοικος=ὁ ἔξω, μακρὰν τοῦ οἴκου ὤν.

ἔξορρος=ὁ τὸν ὀρρὸν ἐξαιρεθείς, ὁ μὴ ἔχων ὀρρόν, ξηρός.

(1) Οὐλπιανός.

(2) Νῦν ἔπλασαν καὶ λ. ἴσαλος=ὁ ἴσος πρὸς τὴν τῆς θαλάσσης ἐπιφάνειαν, μήτε ἐξέχων αὐτῆς, μήτε ὑπ' αὐτὴν ὤν.

(3) Ὁμοίως ἐπλάσθη ὑπὸ τῶν νεωτέρων ἐξάρμοσις, ἐξαρμοστὴρ στρόφαλος, ἐξαρμοστηρία μηχανή.

(4) Ἡ συνήθεια νῦν λέγει ξεθωριάζω=ἐκβάλλω τὴν θεωρίαν, τὸ χρῶμα ὑπὸ τῶν λογίων ἐπλάσθη ἐκχρωματίζω -ζομαι, ἐκχρωματισμός

ἐξόμιλος=ὁ ἔξω τοῦ ὁμίλου ὤν.
ἐξούσιος=ὁ τῆς οὐσίας ἐξωσθείς, ἐστερημένος.
ἐξώπιος=ἔξω τῆς ὄψεως γενόμενος, μακράν· ἀντιθ. ἐνώπιος=κατὰ πρόσωπον.
ἔξωρος (1)=ὁ ἔξω τῆς ὥρας, τῆς νεότητος, τοῦ καιροῦ τοῦ πρέποντος ὤν· πρβλ. ὡραῖος, ἔνωρος, ἄωρος.
ἐξωριάζω (ὥρα)=ὀλιγωρῶ, οὐ φροντίζω(2)· πρβλ. εὐωριάζω καὶ εὐωρέω=ὀλιγωρῶ.

Ἔν τισι ῥήμασιν ἡ ἐκ, σημαίνουσα τὸ ἐκτός, ἐστὶν ἁπλῶς ἐπιτατικὴ τῆς τοῦ ἁπλοῦ σημασίας· καὶ τὸ ἁπλοῦν δηλαδὴ ῥῆμα σημαίνει κίνησίν τινα πρὸς τὰ ἔξω, συντιθέμενον δὲ μετὰ τῆς ἐκ ἐμφαίνει ἔτι μᾶλλον τὴν τοῦ ἔξω σημασίαν· π. χ. ἐκβλαστάνω, ἐκφύω, ἐκβρυχῶμαι, ἐκμυκῶμαι, ἐκγεννῶ, ἐκλοχεύω, ἐκγυμνῶ, ἐκδανείζω, ἐκκίχρημι, ἐκδημοσιεύω, ἐκδιηγοῦμαι, ἐκδακρύω, ἐκδείκνυμι, ἐκθεατρίζω, ἐκκωδωνίζω, ἐκλέπω, ἐκλεπυρόω, ἐκμισθῶ, ἐκμηνύω, ἐκπορίζω, ἐκποκίζω, ἐκφαίνω, ἐκφωνῶ, ἐξακοντίζω, ἐξηλιάζω, ἐξηλιοῦμαι, ἐξοιδέω, ἐξουρέω.

Ζ'.

ἐκ=λίαν, σφόδρα.

Ἐν ἄλλοις δὲ συνθέτοις, ἅπερ εἰσὶ καὶ τὰ πλεῖστα, ἡ πρόθεσις ἐκ ἔχει σημασίαν ἐπιτατικήν· ἐν τῇ τοιαύτῃ δὲ σημασίᾳ ἡ πρόθεσις ἐκ ἐν συνθέσει ἰσοδυναμεῖ πρὸς τὴν διά, κατά, ὑπὲρ καὶ ἀντίκειται τῇ ὑπό. Καὶ παραδείγματα μέν, ἐν οἷς ἡ αὐτὴ λέξις εὕρηται συντεθειμένη ἐξ ἑκάστης καὶ τῶν πέντε εἰρημένων προθέσεων, εἰσὶ σπανιώτατα· σπάνια δέ εἰσι καὶ τὰ ἐν χρήσει σύνθετα, τὰ ἐκ τεσσάρων τῶν μνημονευθεισῶν προθέσεων, πολλὰ τὰ ἐκ τριῶν καὶ τέλος πλεῖσταί εἰσιν αἱ ἐκ δύο τῶν εἰρημένων προθέσεων ἐν χρήσει σύνθετοι λέξεις· καὶ περὶ τούτου παρατιθέμεθα τὸν ἑξῆς πίνακα·

(1) Πρβλ. καὶ τὸ νῦν ἐπιρρ. ἔξωρα ἀντιθ. τοῦ ἐνωρίς.

(2) Ὡσαύτως ὑπὸ τῶν νεωτέρων ἐπλάσθη τὸ ῥ. ἐξοντόω -ῶ=ἐξαιρῶ τινα τοῦ εἶναι, ἀφανίζω (πρβλ. καὶ ἐξόντωσις ἐξοντωτής)· ἐξαλγίνη=ἡ τὸ ἄλγος ἐξαιροῦσα (φάρμακον)· ἐξαμφιδετῶ=ἀφαιρῶ τὸν ἀμφιδέτην ἢ μυστακοδέτην. (Πρβλ. Κουμ. συν. ν. λέξεων).

ἔκθερμος,	διάθερμος,	κατάθερμος,	ὑπέρθερμος,	ὑπόθερμος,
ἔκγελως,	. . . .	κατάγελως,	ὑπεργέλοιος,	ὑπογελῶ,
ἔκδηλος,	διάδηλος,	κατάδηλος,	. . . . .	ὑπόδηλος,
ἔκδιψος,	. . . .	κατάδιψος,	ὑπέρδιψος,	ὑποδίψιος-διψῶ,
ἔκλαμπρος,	διαλαμπής,	κατάλαμπρος,	. . . . .	ὑπολαμπής,
ἔκλευκος,	διάλευκος,	κατάλευκος,	. . . . .	ὑπόλευκος,
ἔκπικρος,	διάπικρος,	κατάπικρος,	. . . . .	ὑπόπικρος,
ἔκπυρος,	διάπυρος,	κατάπυρος,	. . . . .	ὑπόπυρος,
ἐκφανής,	διαφανής,	καταφανής,	. . . . .	ὑποφαίνω,
ἔξυγρος,	δίυγρος,	κάθυγρος	. . . . .	ὕφυγρος,
ἐξοξύνομαι,	. . . .	κάτοξυς καὶ κάτοξος(1),	. .	ὕποξυς,
ἔκλεπτος,	διάλεπτος,	. . . . . .	. . . . .	ὑπόλεπτος,
ἐκπαθής,(2)	. . . .	καταπαθής,	ὑπερπαθὴς	. . . . .
ἔκπεινος,	διαπεινῶ,	. . . . . .	. . . . .	ὑποπεινῶ,
ἔκτυφος,	διατύφω,	. . . . . .	. . . . .	ὑπότυφος,
ἔκφαυλος,	διαφαυλίζω,	. . . . . .	. . . . .	ὑπόφαυλος,
ἔκφοβος,	. . . .	κατάφοβος,	. . . . .	ὑπόφοβος,
ἔξωχρος,	. . . .	κάτωχρος,	. . . . .	ὕπωχρος.
ἐκδειμαίνω,	. . . .	καταδειμαίνω,	. . . . .	ὑποδειμαίνω,
ἐκθερμαίνω,	διαθερμαίνω,	καταθερμαίνω,	. . . . .	ὑπόθερμος-αίνω
ἐκδυσωπῶ,	. . . .	καταδυσωπῶ,	. . . . .	ὑποδυσωποῦμαι
ἐκθρύπτω,	διαθρύπτω,	καταθρύπτω,	. . . . .	ὑποθρύπτω,
ἐκθηλύνω,	. . . .	καταθηλύνω	. . . . .	ὑπόθηλυς,
ἐκθρυλῶ,	διαθρυλῶ,	καταθρυλῶ,	. . . . .	ὑποθρυλῶ
ἐκκαίω,	διακαίω,	κατακαίω,	. . . . .	ὑποκαίω,
ἐκλεπτύνω,	διαλεπτύνω,	καταλεπτύνω,	. . . . .	ὑπολεπτύνω,
ἐκμαλάσσω,	. . . .	καταμαλάσσω,	. . . . .	ὑπομαλάσσω,
ἐκπεπαίνω,	. . . .	καταπεπαίνω,	. . . . .	ὑποπέπων,
ἐκτεφρόω	. . . .	κατατεφρόω,	. . . . .	ὑπότεφρος(3),

ἔκλιμος (=σφόδρα λιμώττων, τῷ λιμῷ ἐκλελυμένος)—ὑπολιμώδης (4).

(1) Πρβλ. κάθαλος — κάτοξυ νόσημα τὸ μεῖζον καὶ χαλεπώτερον τοῦ ὀξέος· τοῦτο καὶ ὀξύτατον προσαγορεύειν Ἱπποκράτης εἴωθεν. Ἀρεταῖος.

(2) Ἰσχυρότερον τοῦ ἐμπαθής.

(3) Ἡ ἀναλογία τῆς σημασίας οὐδαμῶς ἰσχύει ἐν τῇ συστοιχίᾳ ἐκτελὴς—ὑποτελὴς, ἔκτροφος—ὑπότροφος.

(4) = μισοπεινασμένος.

Διὰ τὴν συγγένειαν, ἣν ἔχει ἡ ἐκ πρὸς τὴν ὑπέρ, τὴν κατὰ καὶ τὴν διά, προῆλθε καὶ τὸ σύμπλεγμα τῆς συνθέσεως ὑπερεκ-, ἐξυπερ-, κατεκ-, διεκ-ἐκδια-(1).

Ἤδη δὲ παραθετέον καὶ παραδείγματα τῆς μετὰ δύο μόνον τῶν εἰρημένων προθέσεων συνθέσεως ἤτοι τῆς ἐκ καὶ κατά, ὧν μεθ' ἑκατέρας πολλαὶ λέξεις συντίθενται ἐπὶ τῆς αὐτῆς σημασίας, οἷον·

ἐκβασανίζω—καταβασανίζω,	ἐκτεύχω—κατατεύχω,
ἐκβαρβαρόω—καταβαρβαρόω,	ἐξισχνόω—κατισχνόω(2),
ἐκδημοκοπῶ—καταδημοκοπῶ,	ἐξοιμώζω—κατοιμώζω(3),
ἐκθρηνῶ—καταθρηνῶ,	ἔξοινος—κάτοινος,
ἐκλιπαρῶ—καταλιπαρῶ,	ἐξονειδίζω—κατονειδίζω,
ἐκλυμαίνομαι-καταλυμαίνομαι,	ἐξυμνῶ—καθυμνῶ,
ἐκλυσσῶ—καταλυσσῶ,	ἐξωραΐζω—καθωραΐζω,
ἐκλωβῶμαι—καταλωβῶμαι,	ἐξαργῶ—καταργῶ,
ἐκμελετῶ—καταμελετῶ.	ἐξατονῶ—κατατονῶ,
ἐκπυκνῶ—καταπυκνῶ,	ἐξευμαρίζω—κατευμαρίζω,
ἐκποικίλλω—καταποικίλλω,	ἐξομολογῶ—καθομολογῶ,
ἐκστίλβω—καταστίλβω,	ἔξοπτος—κάτοπτος,

(1) Παραδείγματα δὲ καὶ τούτων ἔστωσάν μοι· ἐκδιαβαίνω, ἐκδιαπρέπω, ἐκδιαπρίζω, ἐκδιηγοῦμαι·

διεκβαίνω, διεκβάλλω, διεκβόλιον (φάρμακον), διεκδικέω, διεκδύομαι διεκθέω, διεκθρώσκω, διεκκύπτω, διεκλάμπω, διεκλανθάνομαι, διεκλύω, διεκ, μηρύομαι διεκμυζάω, διεκπαίω, διεκπεραίνω, διεκπερῶ, διεκπεραιοῦμαι, διεκπερδικίζω, διεκπηδῶ, διεκπίπτω, διεκπλέω, διέκπλους, διεκπονέω, διεκπορεύομαι, διεκπτύω, διέκρους, διεκσκορδινησμός, διέκτασις, διεκτείνω, διεκτέμνω, διέκτρησις, διεκφαίνω, διεκφέρω, διεκφεύγω, διεκχέω· διεξαγορεύω, διεξάγω, διεξαμείβομαι, διεξανθίζω, διεξάττω, διεξατμίζω, διέξειμι, διεξελαύνω, διεξελέγχω, διεξελίσσω, διεξεργάζομαι, διεξερευνῶ, διεξέρπω, διεξέρχομαι, διεξετάζω, διεξηγοῦμαι, διεξίημι, διεξικνοῦμαι, διεξιππάζομαι, διεξιστορέω, διεξοδεύω, διέξοδος, διεξοιδ(άω)-διεξοιδέω, διεξομολογοῦμαι, διεξουρέω. διεξυφαίνω.

κατεκλύω, κατεκκαθαρίζω, κατεκπλύνω, κατεκνεύω, κατεκπλήσσω, κατεκτελῶ, κατεξετάζω, κατεξευμαρίζω, κατεξορχοῦμαι.

ὑπερεκθεραπεύω, ὑπερκαίω, ὑπερεκκλάμπω, ὑπερεκνικῶ, ὑπερεκπαίω ὑπερεκπίπτω, ὑπερεκπλήττω, ὑπερέκπληκτος, ὑπερεκτείνω, ὑπερεκτίνω, ὑπερέκτισις, ὑπερεκφεύγω, ὑπερεκχέω, ὑπερεξέχω, ὑπερεξανθῶ, ὑπερεξαπατῶ, ὑπερεξάπτω·

ἐξυπεροπτῶ, ἐξυπερζέω, ἐξύπερθεν.

(2) Πρβλ. καὶ κατισχναίνω, κάτισχνος.

(3) Πρβλ. καὶ σελ. 113· ὡς ἡ ἀπὸ=κατὰ-ἀνά, οὕτω καὶ ἡ ἐκ· π. χ. ἐκθρηνῶ=καταθρηνῶ=ἀναθρηνῶ, ἐξοιμώζω=ἀνοιμώζω=κατοιμώζω, ἐξολολύζω=ἀνολολύζω=κατολολύζω· πρβλ. καὶ ἐκκράζω-ἀνακράζω, ἐκβοῶ-ἀναβοῶ, ἐξυψῶ-ἀνυψῶ.

ἐξαφανίζω—καταφανίζω, ἐξολολύζω—κατολολύζω,
ἐξελκόω—καθελκόω, ἐξοινέω—κατοινόομαι-οῦμαι,
ἐξευμενίζω—κατευμενίζω, ἐξονομάζω—κατονομάζω,
ἐξευτρεπίζω—κατευτρεπίζω, ἐξυπηρετῶ—καθυπηρετῶ.

Προςθετέον ἔτι δείγματα καὶ τῆς μετὰ τῶν προθέσεων ἐκ καὶ διὰ συνθέσεως, οἷον· ἐξευκρινῶ-διευκρινῶ, ἐξερευνῶ-διερευνῶ, ἐκβεβαιοῦμαι-διαβεβαιοῦμαι, ἐκπρεπὴς-διαπρεπής, ἐκκαὴς-διακαής, ἐκθρύπτω-διαθρύπτω.

Ἐπιτατικὴν σημασίαν ἡ ἐκ ἔχει καὶ ἐν τοῖςδε.

α΄. Ἐν τοῖς ψυχικῆς καταστάσεως δηλωτικοῖς· π. χ.

ἐκγελῶ, ἐκκαγχάζω, ἐκκιναιδίζομαι. ἐκθυμαίνω, ἔκθαμβος, ἐκμισῶ, ἐκμαίνω, ἐκμαργοῦμαι, ἐκπροθυμοῦμαι, ἐκταράττω, ἐκτρυφῶ, ἐκτραγῳδῶ, ἐκτυφῶ, ἐξαγανακτῶ, ἐξαδυνατῶ, ἐξαδιαφορῶ, ἐξαθυμῶ, ἐξαιάζω, ἐξαπορῶ, ἐξατονῶ, ἐξαισχύνομαι, ἐξαναισθητῶ, ἐξερίζω, ἔξαλλος, ἐξαμιλλῶμαι, ἐξιλάσκομαι, ἐξοργίζομαι, ἐξευλαβοῦμαι.

β΄. Καὶ ἐν ἄλλοις, οἷα·

ἐκβοῶ, ἐκκράζω, ἐκδεινῶ, ἐκδωριοῦμαι, ἐκζῳοῦμαι (πρβλ. ἐκθαλασσοῦμαι, ἐκλιμνοῦμαι, ἐξηπειροῦμαι, ἐκθηριοῦμαι), ἐκζωπυρῶ, ἐκθειόω, ἐκθρομβοῦμαι, ἐκκαλλύνω, ἐκκονιοῦμαι, ἐκλεπτύνω, ἐκλεπτουργῶ, ἐκλοφίζω, ἐκμελετῶ, ἐκμουσῶ, ἐκνοσηλεύω, (πρβλ. ἐκθεραπεύω, ἐξιῶμαι, ἐξακοῦμαι, ἐξυγιάζω, ἐξυγιαίνω), ἐκπαχύνω, ἐκπαιδεύω, ἐκπλεονάζω, ἐκπαφλάζω, ἐκπράττω, ἐκπυρόω, ἐκσιφωνίζω(1), ἐκνηστεύω(2), ἐκταρσοῦμαι, ἐξαδρύνω, ἐξαγοράζω(3), ἐξαερόω, ἐξαϊστόω, ἐξαίφνης, (πρβλ. ἐξαπίνης), ἐξακονῶ, ἐξάκουστος(4), ἐξαλλάσσω, ἐξαιτιολογῶ, ἐξακριβολογοῦμαι, ἐξαμματίζω, ἐξαμυστίζω, ἐξασκῶ, ἐξατιμάζω, ἐξεργάζομαι, ἐξεπίτηδες, ἐξειρωνεύομαι, ἐξελευθεροστομῶ, ἐξηττῶμαι, ἐξοιδέω, ἐξοιδαίνω, ἐξοικειόω, ἐξοιωνίζομαι, ἐξοικονομῶ, ἐξομαλίζω, ἐξυλακτέω, ἐξυφαίνω.

(1) ἐκσιφωνίζω=διὰ σίφωνος ἀντλῶ τι μέχρι τέλους, ἐξαντλῶ, ἐκκενῶ.

(2) ἐκνηστεύω=συνεχῶς νηστεύω, ἐξακολουθῶ νηστεύων.

(3) ἐξαγοράζω καὶ ἐξοικονομῶ τὸν καιρόν, τὸ πρᾶγμα = μετὰ προσοχῆς πολλῆς καὶ συνέσεως ποιοῦμαι τὴν ἀγοράν, τὴν οἰκονομίαν.

(4) Περίφημος-ἔκφημι· πρβλ. καὶ ἐκπόθητος=περιπόθητος, ἔκπυστος=περίπυστος, ἐξονομάζω—περιώνυμος.

Η΄.

Ἡ ἐκ συνωνυμεῖ τῇ ἀπὸ ἐν τοῖς ἑξῆς·

ἀπαγριῶ—ἐξαγριῶ,
ἀπαιθριάζω—ἐξαιθριάζω,
ἀπακμάζω— ἐξακμάζω,
ἀπακοντίζω—ἐξακοντίζω,
ἀπακριβόω—ἐξακριβῶ,
ἀπαλείφω—ἐξαλείφω,
ἀπαλλοτριῶ—ἐξαλλοτριῶ,
ἀπαμάω—ἐξαμάω,
ἀπαμαυρόω—ἐξαμαυρόω,
ἀπαμέλγω—ἐξαμέλγω,
ἀπαμελῶ—ἐξαμελῶ,
ἀπαμείβω—ἐξαμείβω(1),
ἀπαμβλίσκω—ἐξαμβλίσκω(2),
ἀπαμβλύνω—ἐξαμβλύνω,
ἀπαμύνομαι—ἐξαμύνομαι,
ἀπαναγκάζω—ἐξαναγκάζω,
ἀπαναλίσκω—ἐξαναλίσκω,
ἀπαναχωρῶ—ἐξαναχωρῶ,
ἀπανδροῦμαι—ἐξανδροῦμαι,
ἀπανθρακῶ—ἐξανθρακῶ,
ἀπάνθρωπος—ἐξάνθρωπος,
ἀπαντλῶ—ἐξαντλῶ,
ἀπανύτω—ἐξανύτω,
ἀπαρνοῦμαι—ἐξαρνοῦμαι,
ἀπαργυρίζω—ἐξαργυρίζω,
ἀπαριθμῶ—ἐξαριθμῶ,
ἀπαρκῶ—ἐξαρκῶ,
ἀπαρτίζω—ἐξαρτίζω,
ἀπάρχω—ἐξάρχω,
ἀπαστράπτω—ἐξαστράπτω,
ἀπατιμάζω—ἐξατιμάζω,
ἀπαυαίνω—ἐξαυαίνω
ἀπαυθαδίζομαι—ἐξαυθαδίζομαι,
ἀπαυλίζομαι—ἐξαυλίζομαι,
ἀπαυτομολῶ—ἐξαυτομολῶ,
ἀπαυτοσχεδιάζω-ἐξαυτοσχεδιάζω,
ἀπαφρίζω—ἐξαφρίζω,
ἀπαχρειῶ—ἐξαχρειῶ,
ἀπεικάζω—ἐξεικάζω,
ἀπεικονίζω—ἐξεικονίζω,
ἀπελέγχω—ἐξελέγχω,
ἀπεναρίζω—ἐξεναρίζω,
ἀπελεύθερος-ῶ—ἐξελεύθερος ῶ,
ἀπεμῶ—ἐξεμῶ,
ἀπεμπολῶ—ἐξεμπολῶ,
ἀπέναντι—ἐξέναντι,
ἀπενιαυτίζω—ἐξενιαυτίζω,
ἀπεργάζομαι—ἐξεργάζομαι,
ἀπέρρει—ἐξέρρει,
ἀπευθύνω—ἐξευθύνω,
ἀπευτελίζω—ἐξευτελίζω,
ἀπέχρησεν—ἐξέχρησεν,
ἀπερεύγομαι—ἐξερεύγομαι,
ἀπερημῶ—ἐξερημῶ,
ἀπηθῶ—ἐξηθῶ=διηθῶ (3),
ἀπιδιάζει—ἐξιδιάζει.

(1) Ἀλλὰ ἐξημοιβὸς—ἐπημοιβός.
(2) Πρβλ. ἐξαμβλῶ—ἐκτιτρώσκω.
(3) Πρβλ. ἀφυλίζω—ἐξυλίζω, διυλίζω.

ἀπισόω—ἐξισόω,
ἀπισχναίνω—ἐξισχναίνω,
ἀποβαίνω—ἐκβαίνω,
ἀποβιάζομαι—ἐκβιάζομαι,
ἀποβλαστάνω—ἐκβλαστάνω,
ἀποβλύζω—ἐκβλύζω,
ἀποβράζω—ἐκβράζω,
ἀπογεννῶ—ἐκγεννῶ,
ἀπογκέω·ῶ—ἐξογκέω,
ἀπογράφω—ἐκγράφω,
ἀπογυμνάζω—ἐκγυμνάζω,
ἀπογυμνῶ—ἐκγυμνῶ,
ἀπογυναικοῦμαι—ἐκγυναικοῦμαι,
ἀποδακρύω—ἐκδακρύω,
ἀποδαπανῶ—ἐκδαπανῶ,
ἀποδέρω—ἐκδέρω,
ἀποδεὴς—ἐκδεής,
ἀποδημαγωγῶ—ἐκδημαγωγῶ(1),
ἀποδημῶ—ἐκδημῶ(2),
ἀποδιδράσκω—ἐκδιδράσκω,
ἀποδισκεύω—ἐκδισκεύω,
ἀποδεδίττομαι—ἐκδειμαίνω(3),
ἀποζέω—ἐκζέω,
ἀπόζω—ἐξοζω,
ἀποθαρρῶ—ἐκθαρρῶ,
ἀποθαλαττῶ—ἐκθαλαττῶ,
ἀποθαυμάζω—ἐκθαυμάζω,
ἀποθεόω—ἐκθεόω(4),
ἀποθερίζω—ἐκθερίζω,
ἀποθεραπεύω—ἐκθεραπεύω,
ἀποθεσπίζω—ἐκθεσπίζω,
ἀποθηλάζω—ἐκθηλάζω,
ἀποθηλύνω—ἐκθηλύνω,
ἀποθηριῶ—ἐκθηριῶ(5),
ἀποθλίβω—ἐκθλίβω,
ἀποθρηνῶ—ἐκθρηνῶ,
ἀποκαθαίρω—ἐκκαθαίρω,
ἀποκαλοῦμαι—ἐκκαλοῦμαι,
ἀποκάμνω—ἐκκάμνω,
ἀποκακέω—ἐκκακέω,
ἀποκαρποῦμαι—ἐκκαρποῦμαι,
ἀποκαυλίζω—ἐκκαυλίζω(6),
ἀποκείρω—ἐκκείρω,
ἀποκενόω—ἐκκενῶ,
ἀποκέλλω—ἐξοκέλλω,
ἀποκεντῶ—ἐκκεντῶ,
ἀπόκεντρος—ἔκκεντρος,
ἀποκηρύττω—ἐκκηρύττω,
ἀποκιναιδίζομαι—ἐκκιναιδίζομαι,
ἀποκλέπτω—ἐκκλέπτω,
ἀποκναίω—ἐκκναίω,
ἀποκορέω—ἐκκορέω,
ἀπόκριτος—ἔκκριτος,

(1) Πρβλ. καὶ ἐκδημοκοπῶ.

(2) Πρβλ. φιλέκδημος—φιλαπόδημος· ἀλλὰ ἐν τῷ πεζῷ τῶν Ἀττικῶν λόγῳ τὸ ἐκδημῶ ἐκδημία κλπ. εἰσὶ σπάνια, συνήθη δὲ τὰ ἀποδημῶ, ἀποδημία κλπ. Herwerden.

(3) Πρβλ. καὶ ἐκδειματῶ.

(4) Ἀλλὰ ἐν τῇ συνηθείᾳ τὸ ξεθεώνω=ἐξαιρῶ τὸν θεόν, ποιῶ τινα μὴ πιστεύειν τῷ θεῷ.

(5) Ἀποθηριῶ=εἰς θηρίον μεταβάλλω, μεταμορφῶ· π. χ. ὀργισθεῖσα ἡ θεὰ ἀπεθηρίωσεν αὐτήν. Ἐρατοσθ. καταστ. 1. ἀποθηριοῦμαι=θηρίων πληροῦμαι· π. χ. ὁ Νεῖλος ἀποτεθηρίωται=θηρίων πεπλήρωται.

(6) Πρβλ. καυλοτομῶ καὶ καυλοκοπῶ.

ἀποκυβεύω—ἐκκυβεύω(1),
ἀποκωφῶ—ἐκκωφῶ,
ἀπολάμπω—ἐκλάμπω,
ἀπολανθάνομαι—ἐκλανθάνομαι,
ἀπολέγω—ἐκλέγω(2),
ἀπολείχω—ἐκλείχω,
ἀπολέπω—ἐκλέπω,
ἀπολεπίζω—ἐκλεπίζω,
ἀπολωπίζω—ἐκλωπίζω,
ἀπολήγω—ἐκλήγω,
ἀπολισθάνω—ἐξολισθάνω,
ἀπολογίζομαι—ἐκλογίζομαι,
ἀπολολύζω—ἐξολολύζω,
ἀπολούω—ἐκλούω,
ἀπόλλυμι—ἐξόλλυμι,
ἀπολιμνοῦμαι—ἐκλιμνοῦμαι,
ἀπολεπτύνω—ἐκλεπτύνω,
ἀπομαίνομαι—ἐκμαίνομαι(3),
ἀπομάσσω—ἐκμάσσω,
ἀπόμαγμα—ἔκμαγμα(4),
ἀπομαραίνω—ἐκμαραίνω,
ἀπομεθύσκομαι—ἐξοινέω,
ἀπομόργνυμι—ἐξομόργνυμι,
ἀπομελαίνομαι—ἐκμελαίνομαι,
ἀπομειλίσσομαι—ἐκμειλίσσομαι,
ἀπομαρτυρῶ—ἐκμαρτυρῶ,
ἀπομελίζω—ἐκμελίζω,
ἀπομεστῶ—ἐκμεστῶ,
ἀπομετρῶ—ἐκμετρῶ,
ἀπομηκύνω—ἐκμηκύνω,
ἀπομηνίω—ἐκμηνίω,
ἀπομισῶ—ἐκμισῶ,
ἀπόμισθος—ἔκμισθος(5),
ἀπομισθῶ—ἐκμισθῶ,
ἀπομιμοῦμαι—ἐκμιμοῦμαι,
ἀπόμνυμι—ἐξόμνυμι,
ἀπομοχλεύω—ἐκμοχλεύω,
ἀπομυζῶ—ἐκμυζῶ,
ἀπομυκῶμαι—ἐκμυκῶμαι,
ἀπομυκτηρίζω(6)—ἐκμυκτηρίζω,
ἀπομυσάττομαι—ἐκμυσάττομαι,
ἀποναρκῶ—ἐκναρκῶ,
ἀπονεκρόω—ἐκνεκρόω,
ἀπονεοττεύω—ἐκνεοττεύω,
ἀπονήχομαι—ἐκνήχομαι,
ἀπονίζω—ἐκνίζω,
ἀπονικῶ—ἐκνικῶ,
ἀπονιτρῶ—ἐκνιτρόω(7),
ἀπόνοια—ἔκνοια,
ἀπονοσφίζομαι—ἐκνοσφίζομαι,
ἀπονυχίζω—ἐξονυχίζω,
ἀποιμώζω—ἐξοιμώζω,
ἀποιωνίζομαι—ἐξοιωνίζομαι,
ἀπόπισθεν—ἐξόπισθεν,
ἀποπτάω—ἐξοπτῶ,
ἀποργὴς ·ίζομαι—ἐξοργίζομαι,

(1) Ἀποκυβεύω τοῖς ὅλοις, ὑπὲρ τῶν ὅλων.

(2) Ἀπόλεκτος—ἐκλεκτός.

(3) Ἀλλ' ἐκμανὴς μόνον, οὐχὶ ἀπομανής.

(4) Ἀλλ' ἐκμαγεῖον μόνον (οὐχὶ δὲ καὶ ἀπομαγεῖον) = τὸ δι' οὗ μάσσομεν, τὸ ἐν ᾧ ἐνετυπώθη τὸ μαχθέν, τὸ πρόπλασμα, τὸ πανομοιότυπον.

(5) Ἀντίθ. ἔμμισθος, μίσθιος, μισθωτός.

(6) Πρβλ. ὅλῳ τῷ μυκτῆρι χρῆσθαι, ἀποσκαμυνθίζω, ἀπομυλλαίνω

(7) =νίτρῳ καθαίρω.

ἀπορθῶ—ἐξορθῶ,
ἀπορνεοῦμαι—ἐξορνεοῦμαι,
ἀπορφανίζω—ἐξορφανίζω,
ἀπόπαλαι—ἔκπαλαι,
ἀποπαρθενεύω—ἐκπαρθενεύω,
ἀποπειρῶμαι—ἐκπειρῶμαι,
ἀποπεραίνω—ἐκπεραίνω,
ἀποπερῶ—ἐκπερῶ,
ἀποπήγνυμι—ἐκπήγνυμι,
ἀποπιέζω—ἐκπιέζω,
ἀποπίμπλημι—ἐκπίπλημι,
ἀποπληρῶ—ἐκπληρῶ,
ἀποπλοκὴ—ἐκπλοκή(1),
ἀποπλύνω—ἐκπλύνω,
ἀποπορπάω—ἐκπορπῶ(2),
ἀποπνέω—ἐκπνέω,
ἀπόπνους—ἔκπνους(3),
ἀπόπρεμνος—ἔκπρεμνος,
ἀποπτερύσσομαι—ἐκπτερύσσομαι,
ἀποπτύω—ἐκπτύω,
ἀποπυνθάνομαι—ἐκπυνθάνομαι,
ἀποπυΐσκω—ἐκπυΐσκω,
ἀποπυτίζω—ἐκπυτίζω,
ἀποπυρῶ—ἐκπυρῶ,
ἀπορραίνω—ἐκραίνω,
ἀπορρέω—ἐκρέω,
ἀπορριζῶ—ἐκριζῶ,
ἀπορρινάω—ἐκρινῶ,
ἀπορροφέω—ἐκροφῶ,
ἀπορρύπτω—ἐκρύπτω,
ἀποσαρκοῦμαι—ἐκσαρκοῦμαι,
ἀποσεμνύνω—ἐκσεμνύνω,
ἀποσήπομαι—ἐκσήπομαι,
ἀποσμῶ—ἐκσμῶ,
ἀποσπένδω—ἐκσπένδω,
ἀπόσπονδος—ἔκσπονδος,
ἀποσοβῶ—ἐκσοβῶ,
ἀποσπερματίζω—ἐκσπερματίζω,
ἀποσπογγίζω—ἐκσπογγίζω,
ἀποστηθίζω—ἐκστηθίζω,
ἀποστραγγίζω—ἐκστραγγίζω,
ἀποσυρίττω—ἐκσυρίττω,
ἀποσφραγίζω—ἐκσφραγίζω,
ἀποσχίζω—ἐκσχίζω,
ἀποσῴζω—ἐκσῴζω,
ἀποσωρεύω—ἐκσωρεύω,
ἀπὸ τρόπου—ἔκτροπος,
ἀποτείνω—ἐκτείνω,
ἀποτεκμαίρομαι—ἐκτεμαίρομαι,
ἀποτελῶ—ἐκτελῶ,
ἀποτελειῶ—ἐκτελειῶ,
ἀποτελευτῶ—ἐκτελευτῶ,
ἀποτεφρῶ—ἐκτεφρῶ,
ἀποτίκτω—ἐκτίκτω,
ἀποτίλλω—ἐκτίλλω,
ἀπότιμος—ἔκτιμος,
ἀποτινάσσω—ἐκτινάσσω,
ἀποτίνω—ἐκτίνω(4),
ἀποτιτρῶ—ἐκτιτρῶ,
ἀποτορνεύω—ἐκτορνεύω,
ἀποτρίβω—ἐκτρίβω,
ἀποτρυχόω—ἐκτρκχόω,

(1) Ἀντίθ. πλοκή, περιπλοκὴ—συμπλοκή.
(2) Οἱ δὲ Βυζ. ἐκπορπόω-ἐκπορποῦμαι καὶ ἐκφιβλοῦμαι.
(3) =ἄπνους ἀντιθ. ἔμπνους.
(4) Πρβλ. καὶ ὑπεραποτίνω καὶ ὑπερεκτίνω.

ἀποτρύχω—ἐκτρύχω,
ἀποτρέχω—ἐκτρέχω,
ἀποτραχύνω—ἐκτραχύνω,
ἀποτυφλῶ(1)—ἐκτυφλῶ,
ἀποτυλόω—ἐκτυλῶ,
ἀποτύφω—ἐκτύφω,
ἀποφωνῶ—ἐκφωνῶ,
ἀποχυρόω—ἐξοχυρῶ,
ἀποχετεύω=ἐξοχετεύω,
ἀποφρέω—ἐκφρέω,
ἀποφυὰς—ἐκφυάς,
ἀποφθέγγομαι—ἐκφθέγγομαι,
ἀποφαυλίζω—ἐκφαυλίζω,
ἀποφαιδρύνω—ἐκφαιδρύνω,
ἀποφεύγω—ἐκφεύγω(2),
ἀποφθείρω—ἐκφθείρω,
ἀποφθίνω—ἐκφθίνω,
ἀποφλογοῦμαι—ἐκφλογοῦμαι,
ἀποφρύγω—ἐκφρύγω,
ἀποχέω—ἐκχέω,
ἀποχαυνῶ—ἐκχαυνῶ,
ἀποχαλινῶ—ἐκχαλινῶ,
ἀποχαλῶ—ἐκχαλῶ,
ἀποχαλκεύω—ἐκχαλκεύω,
ἀποχρέμπτομαι—ἐκχρέπτομαι,
ἀποχρώννυμι—ἐκχρώνυμι,
ἀποψύχω—ἐκψύχω,
ἀποψήχω—ἔκψηγμα,
ἀπώλεια—ἐξώλεια,
ἀφαγνίζω—ἐξαγνίζω,
ἀφαιμάσσω—ἐξαιμάσσω,
ἀφαρπάζω—ἐξαρπάζω,
ἀφαδρύνομαι—ἐξαδρύνομαι,
ἀφαύω—ἐξαύω(3),
ἀφελκοῦμαι—ἐξελκοῦμαι,
ἀφερμηνεύω—ἐξερμηνεύω,
ἀφηγοῦμαι—ἐξηγοῦμαι (τινος καί τι)
ἀφηνιάζω—ἐξηνιάζω, (4)
ἀφήκω—ἐξήκω,
ἀφιδρῶ—ἐξιδρῶ,
ἀφιππεύω—ἐξιππεύω,
ἀφομιλέω—ἐξομιλῶ,
ἀφομοιῶ—ἐξομοιῶ,
ἀφορμῶ—ἐξορμῶ,
ἀφοσιῶ—ἐξοσιῶ,
ἀφ' οὗ—ἐξ οὗ,
ἀφυβρίζω—ἐξυβρίζω,
ἀφυγραίνω—ἐξυγραίνω,
ἀφυλίζω—ἐξυλίζω,
ἀφυπνίζω—ἐξυπνίζω.

Ἐπὶ πᾶσι προσσημειωτέον, ὅτι ἡ ἀπὸ καὶ ἡ ἐκ ἐν τοῖς παρατεθεῖσι συνθέτοις ἰσοδυναμοῦσιν ἐν τῇ δηλώσει διαφόρων σημασιῶν, εἴτε ὅταν σημαίνωσι τὴν ἀρχὴν τῆς κινήσεως ἢ τὴν ἀφετηρίαν π. χ.

(1) Ἐν τῇ συνηθείᾳ δ' ὅμως τὸ μὲν ἀποστραβώνω=τέλεον στραβώνω, τὸ δὲ ξεστραβώνω=τὴν στραβότητα ἢ τυφλότητα ἀφαιρῶ, διανοίγω τοὺς ὀφθαλμούς, ἐξομματῶ τινα.

(2) Φεύγων ἀπέφυγε καὶ φεύγων ἐξέφυγεν.

(3) =ἐξοπτῶ.

(4) Πρβλ. ἐξήνιος ἵππος.

ἀπόπλους—ἔκπλους, ἀποστηθίζω—ἐκστηθίζω,
ἀφ' οὗ—ἐξ οὗ, ἀφυπνίζω—ἐξυπνίζω κλπ.

εἴτε ὅταν δηλῶσι τὸ ἐκτός τινος γίνεσθαι ἢ παύεσθαί τινος, π. χ.,
ἀπακμάζω—ἐξακμάζω, ἀπομεθύσκομαι—ἐξοινέω,
ἀπόμισθος—ἔκμισθος, ἀπότιμος—ἔκτιμος,
ἀπόπνους—ἔκπνους κλπ.

εἴτε ἐν τῇ σημασίᾳ τοῦ ἀφαιρεῖν ἢ ἐξαιρεῖν τι· π. χ.
ἀπαφρίζω—ἐξαφρίζω, ἀποκαυλίζω—ἐκκαυλίζω,
ἀποπαρθενεύω—ἐκπαρθενεύω, ἀπορριζῶ—ἐκριζῶ,
ἀποχαλινῶ—ἐκχαλινῶ, ἀφηνιάζω—ἐξήνιος (ἵππος)·

εἴτε ὅταν ἐμφαίνωσι τὸν τρόπον καθ' ὃν τελεῖται ἡ ἔννοια τοῦ ἐκβάλλειν ἢ τοῦ ἀφαιρεῖν ἢ τοῦ ἐκτός τινος γίνεσθαι· π. χ.
ἀποσυρίττω—ἐκσυρίττω, ἀπορρινῶ—ἐκρινῶ,
ἀπονήχομαι—ἐκνήχομαι, ἀποδιδράσκω—ἐκδιδράσκω,
ἀφιππεύω—ἐξιππεύω·

εἴτε τέλος ἐν τῇ ἐννοίᾳ τῆς ἐπιτάσεως, ἣν δηλοῦσι καὶ τὰ πλεῖστα τῶν παρατεθέντων· π. χ.
ἀπαγριῶ—ἐξαγριῶ, ἀπακριβῶ—ἐξακριβῶ, ἀπαμελῶ—ἐξαμελῶ,
ἀπανθρακῶ—ἐξανθρακῶ, ἀποπληρῶ—ἐκπληρῶ κλπ.

ἀπὸ—ἐκ συνωνυμοῦσι καὶ ἐν τῇ συμπλοκῇ ἀπεκ- ἐξαπο-.

Ἐπειδὴ δὲ αἱ δύο προθέσεις ἀπὸ καὶ ἐκ, κατήντησαν πολλαχοῦ νὰ σημαίνωσι τὸ αὐτό, διὰ τοῦτο καὶ συμπλέκονται ἐν τῇ συνθέσει (ἀπεκ—ἐξαπό)· π. χ.

ἀπεκδέχομαι,	ἐξαπαλάττω,	ἐξαπαλείφω,
ἀπεκδύομαι,	ἐξαπαντλῶ,	ἐξαποδιδράσκω,
ἀπεκκλησιασμός,	ἐξαπελαύνω,	ἐξαπονίζω,
ἀπεκλανθάνομαι,	ἐξαπεῖδον,	ἐξαπόλλυμι,
ἀπεκλέγομαι,	ἐξαποθλίβω,	ἐξαποπνέω,
ἀπεκλύω,	ἐξαπονέομαι,	ἐξαπορρέω,
ἀπεκμυζῶ,	ἐξαποπατῶ,	ἐξαποσπῶ,
ἀπεκφέρω,	ἐξαποπτύω,	ἐξαποστρέφομαι,
ἀπεκφορέω-ῶ,	ἐξαποφαίνω,	ἐξαποφθείρω,

ἀπεξαμαρτάνω, ἐξαποχέω, ἐξαπώλεια(1),
ἀπεξεργάζομαι, ἐξαφαρπάζω, ἐξαφίημι, ἐξαφίσταμαι(2).

Ἐνίοτε δὲ καὶ ἡ αὐτὴ λέξις ἔχει ἐν τῇ συνθέσει τὴν τῶν δύο προθέσεων συμπλοκὴν ἀπεκ—ἐξαπο· π. χ.

ἀπεκβαίνω—ἐξαποβαίνω, ἀπεκτίνω—ἐξαποτίνω(3),
ἀπεκδύνω—ἐξαποδύνω, ἀπεξάγω—ἐξαπάγω.
ἀπεκκλύζω—ἐξαποκλύζω, ἀπεξαιρῶ—ἐξαφαιρῶ,
ἀπεκπέμπω—ἐξαποπέμπω, ἀπεξαρτῶ—ἐξαπαρτῶμαι,
ἀπεξωθῶ—ἐξαπωθῶ(4).

Θ΄.

ἡ ἀπὸ καὶ ἡ ἐκ διάφοροι ἀλλήλων ἢ καὶ ἐναντίαι.

Ἀλλ' ἐν ἄλλοις αὖ οὐκ ὀλίγοις συνθέτοις ἡ ἀπὸ καὶ ἡ ἐκ διαφέρουσιν ἀλλήλων. Τὴν δὲ διαφορὰν αὐτῶν δύναταί τις ἐναργῶς εὑρεῖν, ἐὰν ἀπίδῃ πρὸς τίνα ἄλλην πρόθεσιν ἀντίκειται ἑκατέρα τούτων· διότι ἡ μὲν ἐκ ἀντιτίθεται πρὸς τὴν ἐν ἢ εἰς, ἡ δὲ ἀπὸ ἀντίκειται τῇ πρός, παρὰ ἢ καὶ ἄλλῃ τινί·

Τοῦτο δὲ δύναται νὰ σαφηνισθῇ ἔτι μᾶλλον καὶ ἐκ τῆς ἐν συντάξει χρήσεως αὐτῶν· καὶ πρὸςτοῦτο λάβωμεν τὸ τοῦ Πλάτωνος(5) διδασκαλικώτατον χωρίον·

(1) ἐξώλης ἀπόλοιο—Μένανδρ.

(2) Καὶ ἐν τῇ τῶν ν. λέξεων συναγωγῇ τοῦ Κουμαν· ἐξαπονίπτομαι, ἐξαποβάλλω, ἐξαποκαλύπτω, ἐξαπολύω.

(3) Πρβλ. ὑπερκτίνω—ὑπεραποτίνω.

(4) Τὸ αὐτὸ δύναταί τις ἰδεῖν καὶ ὡς πρὸς τὴν ἐν συντάξει χρῆσιν τῶν δύο τούτων προθέσεων· π. χ. οἱ ἐξ Ἀκαδημείας καὶ οἱ ἀπὸ τῆς Ἀκαδημείας (=οἱ Ἀκαδημικοί), οἱ ἐκ τῆς Στοᾶς καὶ οἱ ἀπὸ τῆς Στοᾶς (=οἱ Στωϊκοί), οἱ ἐκ τοῦ Περιπάτου καὶ οἱ ἀπὸ τοῦ Περιπάτου (=οἱ Περιπατητικοί)—ἐκ θυσίας καὶ ἀπὸ δείπνου—ἐκ πόλεως καὶ ἀπ' οἴκου κλέπτειν ἀφ' ἱερῶν, ἀπὸ φίλων, ἐκ προδοσίας, ἀπὸ ψευδομαρτυρίας. Πλούτ. — ἐκ γῆς ἐναυμάχουν καὶ ἀπὸ νεῶν ἐπεζομάχουν·— ἐκ τῶν ἐνόντων καὶ ἀπὸ τῶν ὑπαρχόντων·—ἐκ διπλασίων χρημάτων καὶ ἀπὸ μεγάλων τιμημάτων·—ἀπό τε τῶν ἐνσπόνδων πληροῦν τὰς ναῦς καὶ προσέτι καὶ ἐκ τῆς ἄλλης Ἑλλάδος καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ἡμετέρων ὑπηκόων. Θουκ. Α' 34. Πρβλ. Ἀσωπίου Εἰσαγ. εἰς τὴν Ἑλλ. σύνταξιν σ. 646· καὶ Kühner-Gerth Ausf. Gramm. der Griech. Sprache Α' σ. 548, ἔνθα σημειοῦνται καὶ ἄλλαι προθέσεις συνώνυμοι ἤτοι κατὰ—διά, περὶ—ὑπέρ, πρὸς—εἰς—ὡς κλπ. ἐναλλασσόμεναι ἀλλήλαις.

(5) Πλάτ. Μενεξ. 234Α.

«ἐξ ἀγορᾶς ἢ πόθεν, Μενέξενε; (Μενεξ.) ἐξ ἀγορᾶς καὶ ἀπὸ τοῦ βουλευτηρίου, ὦ Σώκρατες...»·

ἐξ ἀγορᾶς μὲν εἶπεν, ὅτι ἐν τῇ ἀγορᾷ ἦν· ἀπὸ τοῦ βουλευτηρίου δέ, ὅτι οὐκ ἐν τῷ βουλευτηρίῳ ἦν—ἀλλὰ περὶ τὸ βουλευτήριον ἢ παρ' αὐτό· ὡσαύτως ὁ ποιητὴς(1) εἶπεν

«Ἥρη δ' ἀπεῖδε.... ἐξ Ὀλύμποιο ἀπὸ ῥίου»(1)· πρβλ. καὶ τὸ «ἐξ Ἑλλάδος καὶ ἀπ' Εὐρώτα».

Κατὰ ταῦτα δύναμαι εἰπεῖν, αἴρω τι ἐκ τῆς γῆς, (ὅταν τοῦτο ἐν τῇ γῇ ᾖ) καὶ αἴρω τι ἀπὸ τῆς γῆς (ὅταν τοῦτο ἐπὶ τῆς γῆς ᾖ). Ὡσαύτως οὐχὶ ἀδιαφόρως ἐχρήσατο τῇ ἀπὸ καὶ τῇ ἐκ ὁ Ξενοφῶν(2) καὶ ἐν τῷ τῷδε·

«λαμβάνομεν οὐδὲν οὔτε ἐκ τῆς γῆς οὔτε ἀπὸ τῶν οἰκιῶν».

Διὰ τὴν διαφορὰν δὲ ταύτην τῶν δύο προθέσεων οἱ ἀρχαῖοι λέγουσιν μὲν «ἐκδύομαι τὸν χιτῶνα» (ὅτι ἐντὸς φορεῖται, ἐν τῷ βάθει τῆς ἀμφιέσεώς ἐστι καὶ οἱονεὶ ἔγκειται), ἀλλὰ ἀποδύομαι τὸ ἱμάτιον, ὅτι τοῦτο ἐπιπολῆς τῆς ἄλλης ἀμφιέσεώς ἐστιν (ὅτι ἐπίκειται) (3).

Ὡσαύτως διὰ τὴν διαφορὰν τῶν δύο προθέσεων λέγεται ὑπὸ τῶν Ἑλλήνων ἀφαιρῶ τινα τὸ ἱμάτιον, τὰ χρήματα, (ὅτι ἐπ' αὐτοῦ ἢ παρ' αὐτῷ ἢ πρὸς αὐτῷ ἢ περὶ αὐτὸν ἦν), ἀλλ' ἐξαιρῶ τὴν διαβολὴν (ἐνν. τὴν ἐνοῦσαν ἐν τῇ ψυχῇ).(4)

Κατὰ τὴν αὐτὴν ἀκριβολογίαν δὲ τῶν Ἑλλήνων ῥητέον καὶ

ἐξέλκω τὸ ξίφος ἐκ τοῦ κολεοῦ, ἐξέλκω τὸν ἱκέτην ἐκ τοῦ ἱεροῦ· ἀλλ' ἀφέλκω τὸν ἱκέτην ἀπὸ τοῦ βωμοῦ, ἀφέλκω τὸν παῖδα ἀπὸ τῶν μαστῶν, ἀφίημι τὸν αἰχμάλωτον, ἀλλ' ὁ ποταμὸς ἐξίησι (τὸ ἑαυτοῦ ὕδωρ).

(1) Ἰλ. Ξ', 153.

(2) Ξενοφ. Ἀπομνημ. Β', ζ', 2.

(3) Πρβλ. καὶ τάδε· ἦλθέ τις ἐκ τῆς πόλεως (ἐν ᾗ ἦν)—ἦλθέ τις ἀπὸ τῆς πόλεως (περὶ ἣν ἦν)· ἐξῆλθέ τις τῆς πόλεως=ἔξω τῆς πόλεως ἐγένετο—ἀπῆλθέ τις τῆς πόλεως=(ἄπω) πόρρω τῆς πόλεως ἐγένετο.

(4) Διὸ ὑπὸ τῶν ἀρχαίων λέγεται· ἐξαιρῶ τὸν θυμόν, τὴν ψυχήν, τὰς φρένας, τὴν ἐπιθυμίαν, τοὺς φόβους, τὴν ἀπιστίαν τινός. τὴν νηδύν, τὴν κοιλίαν, τὸ φορτίον (ὡς ἐν τῇ νηὶ ὄν· ἐξαιροῦμαί τινα ἐκ τῶν κινδύνων, ἐξαιρῶ τινα τοῦ λόγου, οὐχὶ ἀφαιρῶ· πρβλ. ἐκ θυμοῦ φιλεῖν, ἐκ θυμοῦ πεσεῖν, ἐκθύμως φιλεῖν (ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς διανοίας)· ἀλλὰ ἀπὸ θυμοῦ μᾶλλόν ἐμοὶ ἔσεαι= ἀποθύμιος ἀντιθ.—καταθύμιος.

Διὸ παρὰ τοῖς Ἕλλησι ῥήματά τινα μόνον μετὰ τῆς ἐκ εὕρηνται συντεθειμένα, τῆς φύσεως αὐτῶν μὴ ἐπιτρεπούσης τὴν μετὰ τῆς ἀπὸ σύνθεσιν· τοιαῦτα δέ τινά εἰσι· ἐκβρυχῶμαι, ἐκγρυτεύω, ἐκκολάπτω, ἐκκοκκίζω, ἐκμυελίζω, ἐκνευρίζω, ἐκπρεμνίζω, ἐκπυρηνίζω, ἐκριζῶ, ἐκσαρκίζω, ἐκχυμίζω, ἐξακανθίζω, ἐξεγκεφαλίζω, ἐξεντερίζω, ἐξιχωρίζω, ἐξινίζω, ἐξομματίζω, ἐξορρίζω, ἐξοστεΐζω, ἐξυμενίζω (1) κλπ.

Ἄλλη δὲ διαφορὰ τῆς ἀπὸ καὶ τῆς ἐκ καὶ ἐν τῷδε· π.χ. λέγεται·

ἡ ἐπιτροπὴ σύγκειται ἐκ βουλευτῶν, ἀλλ' οὐχὶ καὶ
ἡ ἐπιτροπὴ σύγκειται ἀπὸ βουλευτῶν.

Ἡ ἐκ τίθεται πρὸς ἐκδήλωσιν ἀμέσου χρονικῆς διαδοχῆς καὶ ἀλληλουχίας π. χ. πόλιν ἐκ πόλεως ἀλλάττων, τόπον ἐκ τόπου, θύραν ἐκ θύρας ἀμείβων, ἐξ ἡμέρας εἰς ἡμέραν ἀναβάλλομαι, ἐξ ἄφρονος σώφρων ἐν μιᾷ ἡμέρᾳ γεγένηται. Ξεν. ἐκ πλουσίου πένης ἀναπέφηνε κλπ. μέγας ἐκ σμικροῦ γέγονε, λόγον ἐκ λόγου λέγειν, Δημ. πόλεμον ἐκ πολέμου διώκειν. Πλούτ.

ἐκ καὶ ἀπὸ ἐναντίαι.

Κατὰ ταῦτα ἡ ἐκ καὶ ἡ ἀπὸ ἐν πολλοῖς διίστανται ἀλλήλων καὶ τοτὲ μὲν ἁπλῶς διαφέρουσι, τοτὲ δὲ καὶ ἀντίκεινται ἀλλήλαις· διότι ἡ μὲν ἀπὸ σημαίνει παῦσιν, ἀποβολὴν ἢ καὶ στέρησιν, ἡ δὲ ἐκ ἐπίτασιν, ὡς ἐν τοῖςδε·

ἀπεθίζω = ἀποβάλλω τὸ ἔθος τινὸς ἢ μετεθίζω τινά· ἀπεθίζω τινὰ τιμωρίαις·

ἐξεθίζω = τέλεον ἐθίζω τινά·

ἀποδιδάσκω τινὰ (τὸ ἐναντ. τοῦ διδάσκω) = ποιῶ τινα τὰ δεδιδαγμένα ἀποβαλεῖν, μεταδιδάσκω (dedocere),

ἐκδιδάσκω = διδάσκω ἀκριβῶς· ὁ χρόνος ἐκδ. πάντα (edocere). πρβλ. καὶ

(1) Ἐνίοτε δ' ὅμως κατά τινα ψευδῆ ἀναλογίαν χρῶνται οἱ Ἕλληνες ἐν τῇ συνθέσει καὶ τῇ ἀπό, ἐν ᾧ ἡ τοῦ ῥ. φύσις μόνην τὴν ἐκ ἀπῄτει· π. χ. λέγεται ἐκνεοσσεύω, ἀλλὰ καὶ ἀπονεοσσεύω, ἐξαμβλόω, ἐξάμβλωμα, ἐκτιτρώσκω, ἔκτρωμα, φάρμακον ἐκβόλιον = ἐκτρωτικόν, ἀλλ' ἐλέχθη καὶ ἀπαμβλίσκω ὡς καὶ νῦν ἀποβάλλει (ἡ γυνή), ἀποβολή.

ἀπομανθάνω = τὰ μεμαθημένα ἀποβάλλω·
ἐκμανθάνω = μανθάνω τι ἐντελῶς·

ἀπαγορεύω = οὐκέτι δύναμαι ἀγορεύειν, ἀποκάμνω(1)· πρβλ. ἀπόφημι, ἀπεῖπον, ἀποφράς, (ἡμέρα = μὴ οἵα τε οὖσα φράζεσθαι, δυσφραδής, nefastus.) ἀπαυδῶ, ἀπολαλῶ·

ἐξαγορεύω = λέγω τι δημοσίᾳ, φανερά· ἐξαγ. τὰ ἀπόρρητα· πρβλ. ἔκφημι, ἐξεῖπον, ἐξαυδῶ, ἐκφράζω, ἐκλαλῶ = κοινολογῶ, δημοσιεύω·—ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄρρητα ἡγούμενος(2).

ἀπερυθριῶ = τὸ ἐρύθημα ἢ τὴν αἰδῶ ἀποβάλλω, ἀπαναισχυντῶ·—ἀπερυθριᾷ πᾶς, ἐρυθριᾷ δὲ οὐδεὶς ἔτι· ἀπηρυθριακότως = ἀναισχύντως·

ἐξερυθριῶ = σφόδρα ἐρυθριῶ.

ἀπεύχομαι = εὔχομαι μὴ (γενέσθαι τι),

ἐξεύχομαι = θερμῶς εὔχομαι γενέσθαι τι.

ἀποβιῶ = παύομαι βιῶν

ἐκβιῶ(3) = βιῶν συμπληρῶ τι· ἑξηκοστὸν ἔτος πανελεύθερον ἐξεβίου,

ἀποβροντῶ = παύομαι βροντῶν

ἐκβροντῶ = σφόδρα βροντῶν ἐκπλήττω τινά· ἐξεβροντήθη σθένος. Αἰσχύλ. ἐκβρόντητος = ἐμβρόντητος(4).

ἀπόθερμος = ἄθερμος

ἔκθερμος = λίαν θερμός, ὑπέρθερμος·

ἀποθύμιος = ὁ ἀπὸ θυμοῦ γενόμενος, δυσάρεστος, μισητός, ἀντίθ. καταθύμιος = ὁ κατὰ θυμὸν γενόμενος, εὐάρεστος.

ἀπόθυμος = ἄθυμος, ἄφροντις, ἀδιάφορος

ἔκθυμος = πρόθυμος, πρόφρων.

ἀπολυμαίνομαι = ἀποβάλλω τὰ λύματα, καθαίρομαι.

ἐκλυμαίνομαι = σφόδρα, τέλεον λυμαίνομαί τινα·

(1) Πρὸς τῇ σημασίᾳ τοῦ—οὐκ ἐπιτρέπω τινί τι.

(2) Ἱπποκρ. ὅρκος.

(3) Herwerden. Ἀλλ' ἔκβιος = τοῦ βίου ἐστερημένος· ἔκβιον ποιῶ = ἀποκτείνω.

(4) Πρβλ. ἐμβροντῶμαι, ἐμβροντησία = ὑπὸ τῆς βροντῆς πληγεὶς ἔκθαμβος γίνομαι, τὸν νοῦν ἐξαιροῦμαι.

ἀπομεθύσκομαι = παύομαι μεθύων·
ἐκμεθύσκω (1) = τέλεον μεθύσκω τινά.

ἀπόμουσος = ἄμουσος, ἀπαίδευτος, ἄγροικος·
ἐκμουσῶ = τέλεον μουσῶ τινα·

ἀπόμματος = ἀόμματος,
ἐξόμματος = ἐξόφθαλμος, οὗ ἐξέχουσιν οἱ ὀφθαλμοὶ (ὀφθ. προπετεῖς), ἀντιθ. κοιλόφθαλμος.
ἐξομματόω = ἐξανοίγω τοὺς ὀφθαλμούς, ποιῶ τινα ἀναβλέψαι, ἀνακτήσασθαι τὴν ὄψιν.

ἀποπείθω = πείθω τινὰ (μὴ ποιῆσαί τι), κωλύω·
ἐκπείθω = πείθω τέλεον, καταπείθω (ποιεῖν τι).

ἀποπετάννυμι = ἀφαιρῶ τὸ πεπταμένον (πρβλ. ἀποκαλύπτω, ἀπογομφῶ, ἀποστεγάζω κλπ.) ἀπο πετάσαντες τὸν τρίβωνα, ἔκπνουν αὐτὸν καταλαμβάνομεν (2)·
ἐκπετάννυμι = ἐπιτεταμένον τοῦ πετάννυμι· ἐκπεπταμένως = δαψιλῶς, ἀφθόνως.

ἀποστρατεύομαι = παύομαι στρατεύων, ἀπολύομαι τῆς στρατιωτικῆς ὑπηρεσίας.
ἐκστρατεύω = ἐξέρχομαι στρατεύων, ὑπάγω εἰς στρατείαν·

ἀποτεκνοῦμαι = ἀποστεροῦμαι τῶν τέκνων, ἀποκτῶμαι τὰ τέκνα·
ἐκτεκνῶ καὶ ἐκτεκνοῦμαι παῖδας = ἐκγεννῶ, κτῶμαι τέκνα· Εὐριπ.

ἀποφράττω = φράττων ἀποκλείω·
ἐκφράττω = τὸν φραγμὸν ἀφαιρῶ, περιαιρῶ· πρβλ. ἔκφραξις, ἐκφρακτικός, ἐκφρ. φάρμακα = καθαρτικά·

ἀφελληνίζω = παύομαι ἑλληνίζων, τὸ ἑλληνίζειν ἀποβάλλω·
ἐξελληνίζω = ποιῶ τινα ἑλληνίζειν, ποιῶ τι ἑλληνικόν

ἀφοπλίζω = τὰ ὅπλα ἀφαιρῶ,
ἐξοπλίζω = τέλεον ὁπλίζω.

Κατ' ἀναλογίαν πρὸς τὰ εἰρημένα καὶ νῦν ἡ γλῶσσα διὰ τὴν χρῆσιν ἐσχημάτισε τὸ ρ. ἀφυπηρετῶ = παύομαι ὑπηρετῶν (ἡ λ. πολλὴ

(1) Ἐξοινόομαι - οῦμαι = ἔξοινος, οἰνοβαρής, οἰνόφλυξ γίνομαι.
(2) Διογ. Λαερτ. 6, 7.

ἐν τῇ στρατιωτικῇ ὑπηρεσίᾳ κατὰ τὸ ἀποστρατεύομαι), ὅπερ ἀντίκειται πρὸς τὸ καὶ παρὰ τοῖς ἀρχαίοις ἐν χρήσει ὂν ἐξυπηρετῶ= τέλεον, ἀκριβῶς καὶ πιστῶς ὑπηρετῶ.

ἡ ἐκ καὶ ἡ ἀπὸ διάφοροι.

Ἀλλὰ καὶ ἄλλως πως τὰ ἐκ τῶν δύο τούτων προθέσεων σύνθετα διαφέρουσιν ἀλλήλων, ὡς ἐν τοῖσδε·

ἀπαγκυλόω-ῶ = ἀγκύλον τι ποιῶ,
ἐξαγκυλόω-ῶ = ἐκ τῆς ἀγκύλης ἐξαρτῶ.

ἀπᾴδω = παραφωνῶ, ἀντίθ. συνᾴδω, προσᾴδω· πρβλ. ἀπῳδός= παράφωνος, παράχορδος· ἀντίθ. συνῳδός, προσῳδός.

ἐξᾴδω = ἐξιὼν ᾄδω, ᾄδω τὸ τελευταῖον ᾆσμα· π. χ. ἐξᾴσας τὸ κύκνειον(1)· οἱ κύκνοι θρηνοῦντες τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν(2).—ἐξᾆσαι δὲ καὶ τὸν βίον τελευτᾶν καὶ μηδὲ γενέσθαι κατὰ τοῦτο τῶν κύκνων ἀγεννέστερον(3)· πρβλ. καὶ ἐξόδιον ᾆσμα, μέλος.

ἀπηχῶ = ἀντηχῶ, παραφωνῶ·
ἐξηχῶ = ἐκπέμπω ἦχον, ἠχῶ τὸ τελευταῖον· ἐξηχεῖν τὸ κύκνειον. Πολύβ.

ἀπαιτῶ = αἰτῶ τι ὀπίσω, ὡς ἐμοὶ ἀνῆκον, τὸ ὀφειλόμενον·
ἐξαιτῶ = αἰτῶ τι ἔξω· π. χ. δοῦλον πρὸς βασανισμόν· ἐξῄτει με τοῦ πατρός, οὗ ἀποτέλεσμα τὸ ἐκδίδωμι· ἐξαιτοῦμαι = ἐκλιπαρῶ.

ἀπανθῶ = παύομαι ἀνθῶν, μαραίνομαι· ἀνανθεῖ καὶ ἀπηνθηκότι καὶ σώματι καὶ ψυχῇ ὁ ἔρως οὐ προσίζει·
ἀπανθίζω = τὸ ἄνθος ἀποδρέπω· ὁ Ἄρης τὰ λῷστα ἅπαντα ἀπανθίζει (4).
ἐξανθεῖ = ἐκφύει ἄνθος· ἐξανθεῖ ἡ τῆς ἥβης τρίχωσις· ἐξανθίζω=

(1) Πολύβ.
(2) Πλάτ. Φαίδ. 85Α.
(3) Πλούτ. Συμπ. 161C.
(4) Πρβλ. ἄωτον=τὸ οἱονεὶ ἀπάνθισμα, τὸ κάλλιστον· καὶ λωτίζομαι-λώτισμα.

ἄνθεσι κοσμῶ, χρωματίζω ποικίλοις χρώμασι· πρβλ. καὶ διανθίζω τι.

ἀπαίσιος= οὐχὶ αἴσιος, δυσοίωνος, δυσοιώνιστος.

ἐξαίσιος= ἔξω τῆς αἴσης, τοῦ συνήθους, ὑπερφυής, ὑπέρμετρος, ἀήθης· ἐξ. χειμών, ὄμβρος, σεισμός, μέγεθος.

ἀπαναγιγνώσκω = κακῶς, πλημμελῶς ἀναγινώσκω, παραναγινώσκω καὶ ἀπανάγνωσμα=παρανάγνωσμα.

ἐξαναγιγνώσκω = ἐξ ἀρχῆς μέχρι τέλους ἀναγινώσκω·

ἀπαίρω = αἴρω τι ἀπό τινος· ἀπ. τὴν τράπεζαν, τὸν πόδα (ἀπ. τὸν στόλον), ἀποπλέω, ἀπ. χθονός· ἄπαρσις=ἀπόπλους.

ἐξαίρω — αἴρω τινὰ ὑψηλά, ἀνυψῶ· τὸ τεῖχος ἐξῄρετο· τὰ οἰδήματα ἐξαίρονται· ἔξαρσις=ὕψωσις, ἔξαρμα=οἴδημα· τὸ ἔξαρμα=τὸ τοῦ ἡλίου κατὰ τὰς μεσουρανήσεις ἐν ταῖς χειμεριναῖς τροπαῖς. Στράβ.— ἐξ. τοῦ λόγου = τὸ τοῦ ἐμμελοῦς λόγου ὕψος, ὁ ὄγκος.

ἀπανθρωποῦμαι = φεύγω τοὺς ἀνθρώπους, μισανθρωπῶ, ἀπανθρωπία = φυγανθρωπία, μισανθρωπία.

ἐξανθρωπίζω τι = ποιῶ ἄνθρωπον ἢ ἀνθρώπινον· ὁ Σωκρ. τὴν φιλοσοφίαν ἐξηνθρώπισεν = εἰς τοὺς ἀνθρώπους ἤγαγεν· ἀλλ' ἐξάνθρωπος = ἀπάνθρωπος· ἐξανθ. μανία = ἡ ποιοῦσα τὸν ἄνθρ. ἔξω ἑαυτοῦ γενέσθαι.

ἀπαρέσκω τινί = οὐκ ἀρέσκω καὶ ἀπαρέσκομαί τινι = δυσαρεστοῦμαι· ἀπάρεστος = ὁ μὴ εὐαρεστῶν.

ἐξαρέσκομαί τινα = ποιῶ τινα ἀρέσκεσθαί μοι, κτῶμαι τὴν εὔνοιάν τινος· ἐξαρέσκομαί τινα δώροις· Δημοσθ.

ἀπαρθρόω-ῶ= δι' ἀρθρώσεως ἑνῶ τι μετά τινος· ἡ κάτω σιαγὼν ἀπήρθρωται ἀπὸ τῆς ἄνω γνάθου καὶ ἀπὸ τῆς κεφαλῆς.

ἐξαρθρῶ = ἐξαιρῶ τὸ ἄρθρον, ἐκτοπίζω τὸ ὀστοῦν, λύω τὴν ἕνωσιν· ἐξαρθρέω (-ησις -ημα)· ἀμβτ.—ἔξαρθρος= ὁ ἐξάρθρωσιν λαβών, οὗ τὰ μέλη κακῶς ἐσχηματισμένα εἰσίν. ἔξαρθρος—οὗ ἐξέχουσι τὰ ἄρθρα· πρβλ. ἐξόφθαλμος, ἐξίσχιος·—διαρθρόω=δι' ἀρθρώσεως, δι' ἁρμῶν ἢ ἄρθρων χωρίζω ὅλον τι, πρβλ. διαρθροῦν τὴν φω-

νήν, τὴν γλῶσσαν· β'=σχηματίζω ὅλον τι ἁρμονικόν, συμπληρῶ, ἐν ἀντιθ. πρὸς τὸ ὑπογράφω, ὑποτυπῶ· διάρθρωσιν λαμβάνει τὸ βρέφος=σχηματισμὸν τῶν μελῶν· προσέτι διάρθρωσις=ἡ κινητῶν ἄρθρωσις, ἐν ἀντιθ. πρὸς τὴν συνάρθρωσιν=τὴν ἀκινήτων ἄρθρωσιν.

ἀπατμίζω ἀμετβτ. = ἐξατμίζομαι, εἰς ἀτμὸν μεταβάλλομαι·

ἐξατμίζω = εἰς ἀτμὸν μεταβάλλω· τὸ πῦρ ἐξατμίζει τὸ ὑγρόν. Ἀριστοτέλ.

ἀπερῶ = ἐρῶ, λαμβάνω τι ἀπό τινος· ἀπεράσαι τὸ πλεονάζον· ἀπεράσαι τὴν ὑγρασίαν·

ἐξερῶ = ἐκκενῶ, ἐξεμῶ· ἐξερᾶν τὰ τεῦτλα ἐκ τῆς χύτρας = ἐξαγγίζειν· ἐξ. τὸ ὕδωρ, τὸν ἀέρα.

ἀπεσθίω = ἐσθίω ἀπό τινος,

ἐξεσθίω = ἐσθίω τι τέλεον.

ἄπεστιν = οὐκ ἔστι παρών· ἀντιθ. πάρεστι·

ἔξεστιν = ἐξουσία ἐστίν, ἐπιτρέπεται.

ἀφέψω = ἕψων, βράζων καθαίρω τι· καὶ ἀφέψημα = τὸ ἐκ τοῦ βρασμοῦ ἢ μετὰ τὸν βρασμὸν ληφθέν.

ἐξέψω = ἕψω ἐντελῶς.

ἀπιδιάζω = ζῶ ὅλως ἴδιος, ὁλόμονος, ἀπιδιαστικὸς βίος = ἀναχωρητικός.

ἐξιδιάζομαί τι = ἐξιδιοῦμαί τι, ἰδιοποιοῦμαί τι· ἴδιόν τι ποιοῦμαι.

ἀπογίγνομαι = μακράν, πόρρω γίνομαι, ἀντίθ. προσγίγνομαι.— ἀπεγίγνετο μὲν οὐδέν, προσεγίγνετο δέ· Θουκ. οἱ ἀπογενόμενοι = οἱ ἀποιχόμενοι, ἀποθανόντες.

ἐκγίγνομαι = γίνομαι ἢ γεννῶμαι ἔκ τινος·

ἐκγίγνεται (ἀπροσ.) = ἔξεστι· ἐξεγένετο = ἐπετράπη.

392 D (22, 1 κέ.) τἀναντία φιλοῦμεν ἢ μισοῦμεν καὶ θαυμάζομεν καὶ ψέγομεν. Γραπτ. ἢ ψέγομεν.

392 E (22, 5) οὐθ' ὁ μεταβάλλων ὁ αὐτός ἐστι — οὔτω, νομίζω, ἀναγνωστέον ἀντί: οὔτε μεταβάλλων κτλ.

392 E (22, 5 κέ.) εἰ δ' ὁ αὐτὸς οὐκ ἔστιν, οὐδ' ἔστιν, ἀλλὰ τοῦτ' αὐτὸ μεταβάλλει γιγνόμενος ἕτερος ἐξ ἑτέρου.

Ἀντὶ ἀλλὰ οἱ κώδ. τοῦ Πλουτ. παρέχουσιν ἅμα, τὸ ἀλλὰ κεῖται παρ' Εὐσεβίῳ· πρὸς δέ: τοῦτο αὐτὸ (τοῦθ' ὃ αὐτὸ Β) οἱ κώδ. τοῦ Πλουτ., οἱ δὲ τοῦ Εὐσεβ. ἐκ τοῦ αὐτόν. Ὁ Wytt. εἰκ. ἐκ τούτου αὐτοῦ — ὅπερ ἐξέδ. ὁ Hutt., ὁ Pat. ἐξ ἰδίας εἰκ. ἐξέδ. ἀλλὰ τοῦθ' ἑαυτὸν μεταβάλλει. Ἐμοὶ οὐχὶ ἀπίθανον φαίνεται, ὅτι ἡ ἀρχικὴ γραφὴ ἦτο: ἀλλὰ τῷ θανάτῳ μεταβάλλει, ὡς δύναταί τις νὰ εἰκάσῃ ἐκ τῆς γραφῆς τοῦ κώδ. Β. (ΤΟΥΘΟΑΥΤΟ). τοῦτο δ' ἀπαιτεῖ καὶ νοῦς: οὐδὲ ἔστιν, ἀλλὰ θνήσκων μεταβάλλει, τ. ἔ. ἄνευ θανάτου μεταβολὴ καὶ γένεσις εἶναι ἀδύνατος. Πρβ. ἐν τοῖς ἔμπροσθεν (21, 12 κέ.) ἀλλ' ἡμεῖς ἕνα φοβούμεθα γελοίως θάνατον ἤδη τοσούτους τεθνηκότες καὶ θνήσκοντες... πυρὸς θάνατος ἀέρι γένεσις, καὶ ἀέρος θάνατος ὕδατι γένεσις κτέ. Πλάτ. Νόμ. 10,894Α ἔστι δὲ ὄντως ὄν, ὁπόταν μένῃ· μεταβαλὸν δὲ εἰς ἄλλην ἕξιν διέφθαρται παντελῶς.

393 E (24, 21 κέ.) ἐκστάσεις δ' αὐτοῦ καὶ μεταβολὰς πῦρ ἀφιέντος αἵ αὐτὸν ἅμα σπῶσιν, ὡς λέγουσιν, αὖθίς τε καταθλίβοντος ἐνταῦθα κτλ.

Χωρίον ἐφθαρμένον, ὅπερ οἱ κριτικοὶ ἄλλοι ἄλλως διορθοῦσιν. Οἱ κώδ. ἐκστάσεις, ἀλλὰ καί: ἐκτάσεις, ἤ: ἐντάσεις. Ἀντὶ ἅμα σπῶσιν ὁ Mez. ἀνασπῶσιν. Τὸ χωρίον ὅλον ὁ Reiske μεταγράφει: ἐκστάσεις δ' αὐτοῦ καὶ μεταβολὰς πῦρ ἀφιέντος καὶ ἑαυτὸν ἀνασπῶντος, ὅσοι λέγουσιν, αὖθίς τε κτλ., ὁ Wytt. ἐκστάσεις δ' α. καὶ μ. πῦρ ἀφιέντος, ἑαυτὸν ἀνασπῶντος, ὡς λέγουσιν κτλ., ὁ Βάσης: πῦρ ἀνι-

έντος έαυτὸν ἀμωσγέπως, ὡς λέγουσιν κτλ. Ὁ Pat. ἐξέδ. ἐκτάσεις δ' αὐτοῦ καὶ μεταβολὰς ⟨εἰς, μετὰ τοῦ Emper.⟩ πῦρ, ἀφιέντος ἑαυτὸν ἀνασπῶσιν ὡς λέγουσιν, αὖθίς τε κτλ., ὁ Βερναρδ. [2] ὀρθῶς ἀποδοκιμάζων τὴν γραφ. ἐκτάσεις ἐξέδ. ἐκστάσεις δ' αὐτοῦ καὶ μεταβολὰς ⟨εἰς⟩ πῦρ ἀφιέντος ἑαυτὸν ἅμα σπῶσιν (ἢ πῦρ ἀφιέντος εἰς ἑαυτὸν ἂν διασπῶσιν) ὡς λέγουσιν, αὖθίς τε κτλ. Τὸ χωρίον εὐοδοῦται, νομίζω, ἂν ἀναγνώσωμεν: ἐκστάσεις δ' αὐτοῦ καὶ μεταβολὰς ⟨εἰς, μετὰ τοῦ Emper.⟩ πῦρ ἀπιόντος ⟨ἢ⟩ ἑαυτὸν ἀνασπῶντος, ὡς λέγουσιν, αὖθίς τε καταθλίβοντος ἐνταῦθα κτλ.

Περὶ τοῦ αὐτοῦ πράγματος πρόκειται καὶ ἐνταῦθα, περὶ οὗ καὶ ἐν 388 F ἀκούομεν οὖν τῶν θεολόγων τὰ μὲν ἐν ποιήμασι τὰ δ' ἄνευ μέτρου λεγόντων καὶ ὑμνούντων ὡς ἄφθαρτος ὁ θεὸς καὶ ἀίδιος πεφυκώς, ὑπὸ δή τινος εἱμαρμένης γνώμης εἰς λόγον μεταβολαῖς ἑαυτοῦ χρώμενος, ἄλλοτε μὲν εἰς πῦρ ἀνῆψε τῇ φύσει πάνθ' ὁμοιώσας πᾶσιν, ἄλλοτε δὲ παντοδαπὸς ἔν τε μορφαῖς καὶ ἐν πάθεσι καὶ δυνάμεσι διαφόροις γιγνόμενος, ὡς γίγνεται νῦν, κόσμος ὀνομάζεται κτέ. 389 C ὅπερ τρία πρὸς ἓν οὐσίᾳ τοῦτο τὴν διακόσμησιν οἰόμενος πρὸς τὴν ἐκπύρωσιν εἶναι κτλ. Χάριν τῆς φρ. εἰς πῦρ ἀπιέναι πρβ. 427 D γίγνεται τοίνυν ἀέρος μὲν ἓν στοιχεῖον ἐκ δυεῖν πυρὸς συγκραθέντων καὶ συστάντων, τὸ δ' ἀέρος αὖ κερματιζόμενον εἰς δύο πυρὸς διακρίνεται σώματα, συνθλιβόμενον δ' αὖθις αὐτῷ καὶ συμπίπτον εἰς ὕδατος ἰδέαν ἄπεισιν κτλ. καὶ τὸ τῆς Γραφῆς Ἰὼβ Ζ' 20 εἰς γῆν ἀπελεύσομαι.

393 E (24, 23 κέ.) καὶ κατατείνοντος εἰς γῆν καὶ θάλασσαν καὶ ἀνέμους καὶ ζῷα καὶ τὰ δεινὰ παθήματα καὶ ζῴων καὶ φυτῶν, οὐδ' ἀκούειν ὅσιον.

Ὡς εἶναι παραδεδομένον τὸ χωρίον δὲν φαίνεται ὑγιῶς ἔχον. Πρβλ. 388 F οἱ σοφώτεροι τὴν μὲν εἰς πῦρ μεταβολὴν Ἀπόλλωνά τε τῇ μονώσει Φοῖβόν τε τῷ καθαρῷ καὶ ἀμιάντῳ καλοῦσι· τῆς δ' εἰς πνεύματα καὶ ὕδωρ καὶ γῆν καὶ ἄστρα καὶ φυτῶν ζῴων τε γενέσεις τροπῆς αὐτοῦ καὶ διακοσμήσεως τὸ μὲν πάθημα καὶ τὴν μεταβολὴν διασπασμόν τινα καὶ διαμελισμὸν αἰνίττονται κτέ., διὸ ἴσως ἀναγνωστέον: καὶ κατατείνοντος εἰς γῆν καὶ θάλασσαν καὶ ἀνέμους καὶ ἄστρα, καὶ τὰ δεινὰ παθήματα καὶ ζῴων ⟨γενέσεις⟩ καὶ φυτῶν, οὐδ' ἀκούειν ὅσιον.

394 C (26, 16 κέ.) μάλιστα δ' οἱ τὰ θεῖα συγχέοντες πρὸς τὰ δαιμόνια εἰς ταραχὴν αὐτοὺς κατέστησαν.

Οὕτω, νομίζω, διορθωτέον ἀντὶ δὲ τὰ θεῖα συγχέοντες. Ὁ νοῦς: μάλιστα δ' εἰς σύγχυσιν κατέστησαν καὶ συνανέμιξαν αὐτούς, τ.ἔ. τὸν Ἀπόλλωνα καὶ τὸν Πλούτωνα οἱ συγχέοντες τὰ θεῖα πρὸς τὰ δαιμόνια-διότι πρόκειται περὶ τῆς διακρίσεως τῶν δύο τούτων θεῶν ἢ μᾶλλον θεοῦ καὶ δαίμονος. Πρβ. 393 F οὐδέποτε γιγνομένης περὶ αὐτὸν (τὸν θεὸν) ἐκστάσεως καὶ μεταβολῆς, ἀλλ' ἑ τ έ ρ ῳ τινὶ θ ε ῷ, μ ᾶ λ λ ο ν δ ὲ δ α ί μ ο ν ι τεταγμένῳ περὶ τὴν ἐν φθορᾷ καὶ γενέσει φύσιν, τοῦτο ποιεῖν καὶ πάσχειν προσῆκον· ὡς δῆλόν ἐστιν ἀπὸ τῶν ὀνομάτων εὐθὺς οἷον ἐναντίων ὄντων καὶ ἀντιφώνων· λέγεται γὰρ ὁ μὲν Ἀπόλλων ὁ δὲ Πλούτων κτέ. Διὰ τοῦτο οὐχὶ ὀρθῶς, νομίζω, καὶ ὁ Pat ἐξ εἰκ. τοῦ Βερναρδ.[1] καὶ αὐτὸς ὁ Βερναρδ.[2] ἐξέδωκαν: αὑτοὺς ἀντὶ τοῦ παραδεδομένου αὐτούς. Ὁ J. J. Hartman εἰκ. μάλιστα δὲ τὰ θεῖα συγχέοντες πρὸς τὰ δαιμόνια εἰς ταραχὴν ἄ ν - θ ρ ω π ο ι (ἀντί: αὐτοὺς) κατέστησαν.

395 B (29, 6 κέ.) τὸν μὲν γὰρ Κορίνθιον οὐ τέχνῃ ἀλλὰ συντυχίᾳ καὶ χρόας λαβεῖν τὸ κάλλος, ἐπινειμαμένου πυρὸς οἰκίαν ἔχουσάν τι χρυσοῦ καὶ ἀργύρου, πλεῖστον δὲ χαλκὸν ἀποκείμενον· ὧν συγχυθέντων καὶ συντακέντων, ὄνομα τοῦ χαλκοῦ τ ῷ μ ε ί ζ ο ν ι τὸ πλῆθος παρέσχεν.

τῷ μείζονι] οὕτως οἱ κώδ. πάντες καὶ κατ' αὐτοὺς οἱ ἐκδόται· ὁ Pat. ἐξ ἰδίας εἰκ. ἐξέδ.: ὄνομα τ ὸ ν χ α λ κ ὸ ν τῷ μείζονι τὸ πλῆθος π α ρ α σ χ ε ῖ ν —κατ' ἐξάρτησιν ἐκ τοῦ ἐν τοῖς ἔμπροσθεν ὑπ' αὐτοῦ συμπληρωθέντος: οὐ τέχνῃ ⟨φασὶν⟩ ἀλλὰ συντυχίᾳ κτέ. ἐν δὲ ταῖς ὑποσημειώσεσι προτείνει καὶ ἄλλην συμπλήρωσιν: τὸ μὲν γὰρ ⟨τὸν⟩ Κορίνθιον οὐ τέχνῃ ἀλλὰ συντυχίᾳ — παρασχεῖν ⟨ἄτοπον⟩. Ὁ Stegmann εἰκ τὸ μεῖζον πλῆθος. Ὁ J. J. Hartman ὄνομα τοῦ χαλκοῦ ⟨τῷ παντὶ⟩ τὸ μεῖζον πλ. παρέσχεν. Ὅτι ἐξέπεσε τὸ ῥ. φασὶν ἢ λέγουσι, δὲν εἶναι ἀπίθανον· διὸ συμπληρωτέον ἢ ὡς ὁ Pat. παρενέβαλεν αὐτό: οὐ τέχνῃ ⟨φασὶν⟩ ἀλλὰ συντυχίᾳ κτλ. ἢ ἴσως: λαβεῖν ⟨φασιν, ἢ λέγουσι⟩ τὸ κάλλος κτλ.· ὁ Reisk. εἰκ οὐ τέχνη ἐποίησεν, ἀλλὰ συντυχία κτλ. τὰ δ' ἐπιφερόμενα διορθωτέον ὧδε: ὧν συγχυθέντων καὶ συντακέντων, ὄνομα τοῦ χαλκοῦ τ ῷ μ ί γ μ α τ ι (ἀντί: τῷ μείζονι) τὸ πλῆθος π α ρ α σ χ ε ῖ ν (τοῦτο μετὰ τοῦ Pat.).

Σύντ. ὄνομα παρασχεῖν (φασι) τῷ μίγματι τὸ πλῆθος τοῦ χαλκοῦ. Πρβλ. Γαλην. Θεραπ. 14 ἀπὸ μὲν τοῦ κρατοῦντος ἐν τῇ μίξει τοὔνομα αὐτῷ τεθείσθω. Πλούτ. Ἠθ. 140 E τὸ κρᾶμα καίτοι ὕδατος μετέχον πλείονος οἶνον καλοῦμεν — τ. ἔ. παρὰ τὸ σύνηθες.

396 A (31, 12 κέ.) ἐνδυόμενον οὖν (τὸν ἀέρα) ὑπὸ λεπτότητος καὶ τέμνοντα τὸν χαλκὸν ἀναχαράσσειν πολὺν ἰὸν ἐξ αὐτοῦ και γεώδη, στέγειν δὲ τοῦτον αὖ πάλιν καὶ πιέζειν, τῆς πυκνότητος διάχυσιν μὴ διδούσης· τὸν δὲ ὑφιστάμενον κτλ.

διάχυσιν μὴ διδούσης] Ἡ λ. διάχυσιν εἶναι παρέμβλημα τοῦ Anon. Turn. Vulc. ὁ δὲ Mez. καὶ Reiske εἰκ. διέξοδον. Οἱ κώδ. ἔχουσι χάσμα 11 γραμμ. κατὰ τὸν Pat., ὅςτις εἰκ.: ἐξαρέωσιν. Ἴσως ἡ ἀρχικὴ γραφὴ ἦτο: τῆς πυκνότητος μὴ διιείσης, ἀφοῦ δὲ τὸ γνήσιον διιείσης παρεφθάρη εἰς διδούσης, ἐσημειώθη τὸ χάσμα πρβ. ἐν τοῖς ἔπειτα (32, 6) τῆς λεπτότητος καὶ πυκνότητος οὐ διιείσης — ἤγου δίοδον μὴ διδούσης.

396 C (32, 17 κέ.) καίτοι μουσηγέτης ὁ θεός. καὶ τῆς λεγομένης λογιότητος οὐχ ἧττον αὐτῷ καλὸν ἢ τῆς περὶ μέλη καὶ ᾠδάς ⟨εὐρυθμίας⟩ καὶ εὐφωνίας μετεῖναι. καὶ πολὺ τὸν Ἡσίοδον εὐεπείᾳ καὶ τὸν Ὅμηρον ὑπερφθέγγεσθαι.

οὕτω, νομίζω, συμπληρωτέον τὸ χωρίον, ὡς ἐκ τῶν ἑξῆς ἐπιφερομένων ἱκανῶς δῆλον γίνεται: τοὺς δὲ πολλοὺς τῶν χρησμῶν ὁρῶμεν καὶ τοῖς μέτροις καὶ τοῖς ὀνόμασι πλημμελείας καὶ φαυλότητος ἀναπεπλησμένους. Ὁ Βερναρδ. καὶ ὁ Pat. ἐξέδ. ἐξ εἰκ. τοῦ Reisk· καὶ ᾠδὰς εὐφωνίας κτλ. ἐξαλειφθέντος ὁριστικῶς τοῦ συνδ. καί.

396 E (33, 11 κέ.) ἐκλαβὼν γὰρ (Παύσων ὁ ζωγράφος) ὡς ἔοικεν ἵππον ἀλινδούμενον γράψαι τρέχοντ' ἔγραψεν· ἀγανακτοῦντος δὲ τἀνθρώπου, γελάσας ὁ Παύσων κατέστρεψε τὸν πίνακα· καὶ γινομένων ἄνω τῶν κάτω ⟨τοὔμ⟩παλιν ὁ ἵππος οὐ τρέχων ἀλλ' ἀλινδούμενος ἐφαίνετο.

Οὕτω, νομίζω, γραπτέον ἀντὶ τοῦ παραδεδομ. πάλιν, ὅπερ ἐπὶ ὁμοίων πραγμάτων τιθέμενον ἄτοπον ἐνταῦθα εἶναι, τοῦ λόγου ὄντος περὶ ἀντιστρόφων φαινομένων ἀναλόγως τῆς θέσεως τοῦ πίνακος. Πρβ. 1052 D Χρύσιππον οὐκ ἀπὸ τύχης ἀλλ' ἐκ προνοίας ἡ φύσις ἤνεγκεν, ἄνω τὰ κάτω καὶ τοὔμπαλιν (ὁ Naber εἰκ. τραπέμπαλιν, οὐχὶ καλῶς) ἀνατρέψαι δεομένη τὸν βίον. 369 CD ἀπὸ δυ-

εῖν ἐναντίων ἀρχῶν καὶ δυεῖν ἀντιπάλων δυνάμεων τῆς μὲν ἐπὶ τὰ δεξιὰ καὶ κατ' εὐθεῖαν τῆς δ' ἔμπαλιν ἀναστρεφούσης κτλ. αὐτ. E τὸν μὲν ἐοικέναι φωτὶ μάλιστα τῶν αἰσθητῶν, τὸν δ' ἔμπαλιν σκότῳ καὶ ἀγνοίᾳ (1).

396 F (33, 15 κέ.) τοῦτό φησιν ὁ Βίων ἐνίους τῶν λόγων πάσχειν, ὅταν ἀναστρέφωσι· διὸ καὶ τοὺς χρησμοὺς ἔνιοι φήσουσιν οὐ καλῶς ἔχειν, ὅτι τοῦ θεοῦ εἰσιν, ἀλλὰ τοῦ θεοῦ μὴ εἶναι, ὅτι φαύλως ἔχουσιν.

'Perizon. ad Aelian V. A. XIV, 15. ita corrigit, ut legat ἀναστραφῶσι-ἄλλοι, et deleat οὐ. quibus nil opus correctionibus modo legat οὐ φήσουσιν.' Wytt. οὐ φήσουσιν ἐξεδ. ὁ Hutt. καὶ Dübner. Ἐκ τῆς εἰκ. τοῦ Perizon. ὁρμώμενος ὁ Βερναρδ. οὐχὶ καλῶς, ὡς καὶ ὁ Βάσης ὀρθῶς παρετήρησεν, ἐξ ἰδίας διασκευῆς ἐξέδ. τὸ χωρίον: ἔνιοι φήσουσιν εὖ καὶ καλῶς ἔχειν — ἄλλοι τοῦ θεοῦ κτλ. Ὁ Pat. ἄνευ ἀνάγκης ἐξέδ. μετὰ τοῦ Perizon. ἀναστραφῶσι (ὅπερ καὶ ὁ J. J. Hartm. θέλει) ἀντὶ τοῦ παραδεδομ. ἀναστρέφωσι· τὰ δ' ἄλλα ὀρθῶς φέρονται ἐν τῇ παραδεδομ. γραφῇ: φήσουσιν οὐ καλῶς ἔχειν — ἀλλὰ τοῦ θεοῦ κτλ., κάλλιστα ἐχούσῃ. Πρβ. Πλάτ. Πολιτ. 3,408 C ἀλλ' εἰ μὲν θεοῦ ἦν (ὁ Ἀσκληπιός), οὐκ ἦν, φήσομεν, αἰσχροκερδής, εἰ δ' αἰσχροκερδής, οὐκ ἦν θεοῦ.

397 B (34. 18 κέ.) ἡδονὴν γὰρ οὐ προσίεται τὸ ἀπαθὲς καὶ ἁγνόν, ἀλλ' ἐνταῦθα μετὰ τῆς Ἄτης ἐρρίφη καὶ τὸ πλεῖστον αὐτῆς κακόν, ὡς ἔοικεν, εἰς τὰ ὦτα τῶν ἀνθρώπων συνερρύηκεν.

οὕτω, νομίζω, γραπτέον ἀντὶ τοῦ παραδεδομ. καὶ ὡς ἔοικεν, κτλ. Ὁ Pat. ἐσημείωσε χάσμα καὶ εἰκ. ἐξωλέστατον, ἤ παραπλήσιόν τι. Ὁ δὲ J. J. Hartm. ἐξαλείφει τὸν καί.

399 A (39, 23 κέ.) Σίβυλλαι δ' αὗται καὶ Βάκιδες ὥσπερ εἰς πόντον ἀτεκμάρτως τὸν χρόνον κατέβαλον καὶ διέσπειραν ὡς ἔτυχε παντοδαπῶν ὀνόματα καὶ ῥήματα παθῶν καὶ συμπτωμάτων· οἷς γιγνομένων ἐνίων ἀπὸ τύχης, ὁμοίως ψεῦδός ἐστι τὸ νῦν λεγόμε-

(1) Κατὰ τὴν διόρθωσιν μόνον εὗρον καὶ ἐσημείωσα τὸ πάντως ἐκ τῆς αὐτῆς τῷ Πλουτάρχῳ πηγῆς χωρίον τοῦ Λουκιανοῦ Δημοσθ. Ἐγκώμ. 24 : Παύσωνι τῷ ζωγράφῳ φασὶν ἐκδοθῆναι γράψαι ἵππον ἀλινδούμενον· τὸν δέ γε γράψαι τρέχοντα καὶ πολὺν κονιορτὸν περὶ τὸν ἵππον· ὡς δ' ἔτι γράφοντος ἐπιστῆναι τὸν ἐκδόντα, μέμφεσθαι, μὴ γὰρ τοῦτο προστάξαι. τὸν οὖν Παύσωνα τοῦ πίνακος τὰ μετέωρα κάτω περιαγαγόντα τῷ παιδὶ τὴν γραφὴν ἐπιδεῖξαι κελεῦσαι, καὶ τὸν ἵππον ἔμπαλιν κείμενον ὀφθῆναι ἀλινδούμενον.

νον, κἂν ὕστερον ἀληθῶς, εἰ τύχοι, γένηται.

οἷς γιγνομένων - τὸ νῦν λεγόμενον] οὕτως οἱ κώδ. πάντες. Χωρίον ἐφθαρμένον. Ὁ Reisk. εἰκ. συμπτωμάτων, ὧν γενομένοις ἐνίοις ἀπὸ τύχης ὁμοίως ψευδές ἐστι τὸ νῦν οὔπω γενόμενον κτλ., ὁ Wytt. συμπτωμάτων· ⟨ἐν, ἢ: ἐφ⟩ οἷς κτλ., ὁ δὲ Emper. ἀληθὲς ἀντὶ ἀληθῶς. Τὸ χωρίον κάλλιστα, νομίζω, εὐοδοῦται, ἂν γράψωμεν: συμπτωμάτων· ⟨ἐν μετὰ τοῦ Wytt.⟩ οἷς ⟨τὸ⟩ γιγνόμενον (ἢ: γενόμενον, ἀντὶ γιγνομένων) ἐνίων ἀπὸ τύχης ὁμοίως ψεῦδός ἐστι τῷ νῦν μὴ γενομένῳ (ἀντὶ: τὸ νῦν λεγόμενον), κἂν ὕστερον ἀληθῶς, εἰ τύχοι, γένηται.

399 D (41, 8 κέ.) καὶ τὸ Ῥωμαίοις πρὸ ἐτῶν ὁμοῦ τι πεντακοσίων προειπεῖν τὸν χρόνον, ἐν ᾧ πρὸς ἅπαντα τὰ ἔθνη πολεμήσοιεν ἅμα· τοῦτο δ' ἦν τὸ πολεμῆσαι τοῖς οἰκέταις ἀποστᾶσιν.

Ὅτι ὁ πρὸς τοὺς οἰκέτας ἀποστάντας πόλεμος ἦτο πόλεμος πρὸς ἅπαντα τὰ ἔθνη, ὡς τὸ χωρίον τοῦτο ἐν τῇ παραδεδομ. γραφῇ λέγει, εἶναι καὶ λεκτικῶς καὶ ἱστορικῶς ἄτοπον. Πάντως διορθωτέον: ἐν ᾧ πρὸς ἅπαντα τὰ ἔθνη πολεμήσασι μετὰ τοῦτο δεῖν πολεμῆσαι (ἢ: δεῖν ἔτι πολεμῆσαι) τοῖς οἰκέταις ἀποστᾶσιν.

Πρόκειται δηλονότι περὶ τῆς κινδυνώδους ἀποστασίας τῶν δούλων, ἐν Σικελίᾳ τὸ πρῶτον ἐκραγείσης περὶ τὸ 140 ἔ. π. Χ. καὶ μόνον κατὰ τὸ ἔ. 132 π. Χ. καταβληθείσης ὑπὸ τοῦ ὑπάτου Ποπλίου Ρουπιλίου. Ὁ πρὸς τοὺς δούλους οὗτος πόλεμος ἐγένετο μετὰ τοὺς ἐν Ἰβηρίᾳ πολέμους, τὴν τελικὴν καθυπόταξιν τῆς Καρχηδόνος, τῆς Μακεδονίας, τῆς Ἑλλάδος καὶ τοὺς ἐν Ἀσίᾳ πολέμους.—Χάριν τοῦ μετὰ τοῦτο πρβ. ἐν τοῖς ἔμπροσθεν (40, 7 κέ.) ὅπου δ' οὐ μόνον λέγεται τὸ γενησόμενον, ἀλλὰ καὶ πῶς καὶ πότε καὶ μετὰ τί καὶ μετὰ τίνος, οὐκ ἔστιν εἰκασμός κτλ.

399 E (41, 15 κέ.) οὐ γὰρ οἶμαί τιν' ἐρεῖν, ὅτι μετὰ τούτων ὡς προερρήθη συνέπεσε κατὰ τύχην.

Ἀντὶ μετὰ τούτων ὁ Reiske εἰκ. ἔνια (ἢ: τὰ πλεῖστα) τούτων, ὁ Hutt. ὅτι τούτων ⟨τι⟩, ὁ Βερναρδ. ὅτι ⟨τι⟩ τούτων· λίαν ἀπιθάνως ἐξέδ. ἐξ ἰδίας εἰκ. ὁ Pat. ὅτι ⟨τὰ μέτρα ταῦτα ἐν οἷς⟩ προερρήθη κτλ. Γραπτέον: ὅτι ⟨τὸ, ἢ: τὰ⟩ μετὰ τούτων ὡς προερρήθη κτλ., ἤγουν τό, ἢ τὰ μετὰ τούτων συμβησόμενα ἐν τοῖς μέλλουσι γενέσθαι κατὰ τύχην συνέπεσεν ὡς προερρήθη. πρβ. (40, 7) ὅπου δ' οὐ

μόνον λέγεται τὸ γενησόμενον, ἀλλὰ καὶ πῶς καὶ πότε καὶ μετὰ τὶ καὶ μετὰ τίνος, οὐκ ἔστιν εἰκασμὸς κτλ.

400 A (42, 16 κέ.) εἶτ' Αἰγυπτίους ἑωρακὼς ἀρχὴν ἀνατολῆς παιδίον νεογνὸν γράφοντας ἐπὶ λωτῷ καθεζόμενον· γελάσας ἐγὼ κτλ.

'ἀρχῆς] corruptum: neque Leonici ἀρχήν, quod receperunt post. Steph. omnes, verum esse potest, neque ἀντὶ (malim ἀντὶ τῆς) editionis Basileensis. Conjecerim ἄρα σημεῖον.' Ταῦτα ὁ Pat., ὅς τὴν λ. ἀρχῆς ἐξεδ. μεταξὺ δύο σταυρῶν. Κατ' ἐμὲ ἡ γραφὴ ἀρχὴν ἔχει καλῶς, ἂν μόνον τὰ ἐπιφερόμ. διορθωθῶσιν ὧδε: εἶτ' Αἰγυπτίους ἑωρακὼς ἀρχὴν ἀνατολῆς παιδίῳ νεογνῷ γράφοντας ἐπὶ λωτῷ (ἢ: ἐπὶ λωτοῦ?) καθεζομένῳ· γελάσας ἐγὼ — Πρβ. 355 B οὐδὲ τὸν ἥλιον ἐκ λωτοῦ νομίζουσι βρέφος ἀνίσχειν νεογνόν, ἀλλ' οὕτως ἀνατολὴν ἡλίου γράφουσι. Χάριν τῆς συντάξεως τοῦ ῥ. γράφω (τὶ τινὶ) πρβ. 354 F τὸν γὰρ βασιλέα καὶ κύριον Ὄσιριν ὀφθαλμῷ καὶ σκήπτρῳ γράφουσιν. 355 A τὸν δ' οὐρανὸν καρδίᾳ κτλ. 371 E γράφουσι δὲ καὶ ἱέρακι τὸν θεὸν τοῦτον. Ἐκ τῆς γραφῆς τῶν κωδ. ἀρχῆς (Basil. ἀντὶ) ἀνατολῆς ἠδύνατό τις ἴσως νὰ εἰκ. αὐγῆς ἀνατολήν.

401 F (47, 8 κέ.) ἐπεὶ γὰρ οἱ Φωκέων τύραννοι πολλὰ τῶν χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων συγχέαντες ἔκοψαν νόμισμα καὶ διέσπειραν εἰς τὰς πόλεις, Ὀπούντιοι συναγαγόντες ὅσον ἀργύριον, ὑδρίαν ἀνέπεμψαν ἐνθάδε τῷ θεῷ καὶ καθιέρωσαν κτλ.

Ὅσον ἀργύριον-ἀνέπεμψαν] οὕτως οἱ κώδ. πάντες καὶ κατὰ τούτους ὁ Wytt. Hutt., Dübner. Ὁ Βερναρδ. ἐξ εἰκ. τοῦ Cobet ἐξέδ. ἔπεμψαν. Ἀντὶ ὅσον ὁ Madv. εἰκ. ὅσιον, ὁ δὲ Βερναρδ. ὅσον ⟨ἦν ὅσιον⟩. Ὁ Βάσης ἀποδοκιμάζει ἀμφότερα ἐξυπακούων ὡς ῥ. τῆς ἀναφερ. προτάσεως τὸ συνήγαγον. Ὁ Pat. ὑποτιθεὶς χάσμα, συνεπλήρωσεν αὐτὸ ἐξ ἰδίας εἰκ. ὧδε: συναγαγόντες ὅσον ἀργυρίου ⟨Φωκικοῦ πλήθους παρ' αὐτοῖς ἦν καὶ ποιήσαντες ἀργυρᾶν⟩ ὑδρίαν ἀνέπεμψαν κτλ. Ὁ J. J. Hartm. συναγαγόντες [ὅσον ἀργύριον] ὑδρίαν ἔπεμψαν. Κατ' ἐμὲ ἀναγνωστέον: συναγαγόντες ὅσον ⟨ἦν⟩ ἀργύριον, ὑδρίαν ἀντέπεμψαν ἐνθάδε τῷ θεῷ καὶ καθιέρωσαν — ἤγουν συναγαγόντες ὅσον ἦν (αὐτοῖς) ἀργύριον, ἀντὶ τῶν ὑπὸ τῶν Φωκέων τυράννων ἀφαιρεθέντων καὶ συγχυθέντων ἀναθημάτων ὑδρίαν ἔπεμψαν ἐνθάδε τῷ θεῷ καὶ καθιέρωσαν·

402 D (48, 22 κέ.) μικρῷ δὲ περιεργότερον αὖθις [ὁ Σιμωνίδης] τὴν Κλειὼ προσειπών.

402 D (49, 8 κέ.) ἔνιοι δὲ καὶ πρῶτον ἐνταῦθά φασιν ἡρῷον μέτρον ἀκουσθῆναι 'συμφέρετε - μέλισσαι'· ὅτε τῷ θεῷ ἐπιδεᾶ γενομένην ἀποβαλεῖν τὸ σεμνόν.

τῷ θεῷ ἐπιδεᾶ γενομένην] χωρίον ἐφθαρμένον. Ὁ Turn. εἰκ. ὥστε τῷ θεῷ κτλ., ὁ Reisk. ὑποτίθησι χάσμα πρὸ τοῦ ὅτε, ὁ Witt. νομίζει ὅτι πολλαὶ λέξεις ἐξέπεσον· ὁ Pat. εἰκ. στέγης γὰρ τὸν θεὸν ἐπιδεᾶ γινόμενον κτλ. Πιθανωτάτη πασῶν εἶνε ἡ εἰκ. τοῦ Benseler ὅτε τῶν θεῶν (τ. ἔ. Μουσῶν), δι' ἧς εὐοδοῦται τὸ χωρίον συμπληρούμενον, ὡς εἰκάζω, ὧδε: ὅτε τῶν θεῶν ἐπιδεᾶ γενόμενον ⟨τὸν τόπον⟩ ἀποβαλεῖν τὸ σεμνόν. Πρβ. ἐν τοῖς ἔμπροσθεν (48, 15) ὥστ' εὐθὺς εἰπεῖν τὸν Βόηθον, ὅτι καὶ ὁ τόπος τῆς ἀπορίας συνεπιλαμβάνεται τῷ ξένῳ. Μουσῶν γὰρ ἦν ἱερὸν ἐνταῦθα περὶ τὴν ἀναπνοὴν τοῦ νάματος.

403 BC (51, 3 κέ.) Δεινομένους δὲ τοῦ Σικελιώτου μαντευομένου περὶ τῶν υἱέων, ἀνεῖλεν ὡς οἱ τρεῖς τυραννήσοιεν· ὑποτυχόντος δὲ τοῦ Δεινομένους 'οἰμωξόμενοί γ' ὦ δέσποτ' Ἄπολλον' καὶ τοῦτό σοι, ἔφη, διδόναι καὶ προσαναιρεῖν·

σοι, ἔφη, διδόναι] οὕτως οἱ κώδ. καὶ κατ' αὐτοὺς ὁ Wytt. καὶ Hutt., ὁ Dübner καὶ Βερναρδ. ἐξέδ. ἐξ εἰκ. τοῦ Reick. καὶ τοῦτ[ό] οἱ, ἔφη, διδόναι κτλ., ὁ δὲ Pat. ἐξ ἰδίας εἰκ. 'καὶ τοῦτό σοι δίδωμι' προσαναιρεῖ. ὁ Mez. εἰκ. καὶ τοῦτό σοι δίδοται. Ἴσως ἀναγνωστέον: καὶ τοῦτο συνέφη διδόναι καὶ προσαναιρεῖν. — Συνήθης εἶναι, ὡς γνωστόν, ἡ φρ. καὶ τοῦτο (ταῦτα) συνέφη (συνέφασαν). Πρβ. Ξενοφ. Ἑλλην. 5, 2. 5 κέ. οἱ δ' αὖ (Μαντινεῖς) νομίσαντες ἀνάγκην εἶναι, συνέφασαν καὶ ταῦτα ποιήσειν· αὐτ. Ἀπομν. 3, 8, 9 ἐπειδὴ δὲ καὶ τοῦτο συμφαῖεν κτλ. Πλάτ. Σοφ. 247 A καὶ ταῦτα ξύμφασιν.

403 F (52, 15 κέ.) ἔνιοι δὲ καὶ νῦν μετὰ μέτρων ἐκτρέχουσιν, ὧν ἕνεκα καὶ πρᾶγμα περιβόητον πεποίηκε.

ἕνεκα] Ἐφθαρμένον· ὁ Reisk. εἰκ. ὧν ἕνα καὶ ἄτοπον (ἤ: παράδοξον) πρᾶγμα κτλ., ὁ Wytt. ὧν ἕνα καὶ πρᾶγμα κτλ. ὁ Βερναρδ. ὧν ἕνα ἀναγκαῖόν (τι) πρᾶγμα· ὁ δὲ Pat. ἐξεδ. ὧν ἕνα (ὡς ὁ Wytt.) ἡ κακία παράγουσα περιβόητον πεποίηκε· πιθανωτάτη εἶναι ἡ εἰκ. τοῦ

Wytt. ἴσως συμπληρουμένη ὧδε: ὧν ἕνα καὶ ⟨τὸ⟩ πρᾶγμα περιβόητον πεποίηκε. Ὁ J. J. Hartm. ὧν ἕνα τὸ (ἢ: αὐτὸ τὸ) πρᾶγμα κτλ.

404 A (53, 4 κέ.) οὐ μὴν ἀλλὰ δοὺς ἄν τις ὡς οὐδὲν νῦν ἐν μέτρῳ θεσπίζεται κτλ. οὕτω, νομίζω, ἀναγνωστέον ἀντὶ ἄνευ μέτρου· ὁ Pat. εἰκ. ἄρ' ἔμμετρον, ἤ: ἐν μέτρῳ· Ὁ J. J. Harm. εἰκ. ἀλλὰ θαυμάζων (ἀντί: δοὺς ἄν) τις ὡς οὐδὲν μετὰ μέτρου θεσπίζεται κτλ.

Μετὰ δὲ ταῦτα γραπτέον μετὰ τοῦ Reisk μᾶλλον διαπορήσει⟨εν⟩ περὶ τῶν παλαιῶν κτλ.

404 C (53, 17 κέ.) ψυχὴ δ' ὄργανον θεοῦ γέγονεν, ὀργάνου δ' ἀρετὴ μάλιστα μιμεῖσθαι τὸ χρώμενον ᾗ πέφυκε δυνάμει καὶ παρέχειν τὸ ἔργον αὐτοῦ τοῦ νοήματος ἐν αὐτῷ δυναμένῃ, δεικνύναι δ' οὐχ οἷον ἦν ἐν τῷ δημιουργῷ καθαρὸν κτλ.

δυναμένῃ] ἐφθαρμένον. Ὁ Reisk. μεταγράφει τὸ χωρίον ὧδε: καὶ παρέχειν τὸ ἔργον αὐτοῦ οὐ τῇ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ (ἢ τοῦ οἰκονομήσαντος αὐτὸ) δυνάμει, δεικνύναι δὲ οὐχ οἷον τὸ τοῦ δημιουργοῦ καθαρὸν κτλ., ὁ Wytt. νομίζει, ὅτι πρέπει νὰ ἐξαλειφθῇ ἡ λ. δυναμένῃ, ὁ Βερναρδ. εἰκ. καὶ παρέχειν ⟨μὲν⟩ τὸ ἔργον αὐτοῦ τοῦ νοήματος ἐν αὐτῷ δυναμένου (ἐξυπακ. τοῦ ὀργάνου), δεικνύναι δ' οὐχ οἷον ἦν ἐν τῷ δημιουργῷ καθαρὸν κτλ., ὁ Pat. ἐξ ἰδίας εἰκ. ξέδ. καὶ παρέχειν τῷ ἔργῳ τοῦ νοήματος ἐν αὐτῷ διαφανῆναι, δεικνύναι δ' οὐχ οἷον ἦν ἐν τῷ δημιουργῷ καθαρὸν κτλ. Ὁ J. J. Hartm. περιγράφει τὰς λ. τοῦ νοήματος — δεικνύναι δ'. Τὸ χωρίον εὐοδοῦται, νομίζω, καὶ εὔληπτον γίνεται, ἂν γράψωμεν: καὶ παρέχειν τὸ ἔργον αὐτοῦ τοῦ νοήματος ἐν αὐτῷ δηλουμένου, δεικνύναι δ' οὐχ οἷον ἦν ἐν τῷ δημιουργῷ καθαρὸν κτλ. Ἐκδέχου: καὶ παρέχειν τὸ ἔργον αὐτοῦ (τ. ἔ. τοῦ χρωμένου) δηλουμένου ἐν αὐτῷ (τ. ἔ. τῷ ἔργῳ) τοῦ νοήματος, δεικνύναι δὲ (τὸ νόημα) οὐχ οἷον ἦν ἐν τῷ δημιουργῷ καθαρὸν κτλ. Πρβ. τὰ εὐθὺς ἐπιφερόμενα (23) καθ' ἑαυτὸ γὰρ ἄδηλον ἡμῖν (τὸ χρώμενον, τ. ἔ. τὸ θεῖον) 407 E χρώμενος δὲ (ὁ θεὸς) θνητοῖς ὑπηρέταις καὶ προφήταις . . . ἀφανίζειν μὲν οὐ θέλει τἀληθὲς παρατρέπων δὲ τὴν δήλωσιν αὐτοῦ κτλ. Ἡ αὐτὴ φθορὰ πιθανῶς ὑπόκειται καὶ ἐν 589 B αἱ δὲ τῶν δαιμόνων (νοήσεις) φέγγος ἔχουσαι

τοῖς δυναμένοις (γρ. τοῖς δηλουμένοις) ἐλλάμπουσιν, οὐ δεόμεναι ῥημάτων οὐδ' ὀνομάτων.

404 C (53, 23 κέ.) καθ' ἑαυτὸ γὰρ ἄδηλον ἡμῖν, ἕτερον δὲ καὶ δι' ἑτέρου φαινόμενον ἀναπίμπλαται τῆς ἐκείνου φύσεως.

Ἀντὶ ἕτερον δὲ ὁ Pat. ἐξέδ. μετὰ τοῦ Emper· ἐν ἑτέρῳ δέ· πιθανωτέρα ἡ εἰκ. τοῦ Βάση: ἕτερον δὲ [καὶ] δι' ἑτέρου, ἢ ἴσως ἀναγνωστέον: ἕτερον δ' ἀεὶ δι' ἑτέρου. Πρβ. Πλάτ. Σοφ. 255 D τὸ δ' ἕτερον ἀεὶ πρὸς ἕτερον. Ὁ J. J. Hartm. ἐξαλείφει τὰς λ. ἕτερον δὲ καί.

404 F (55, 3 κέ.) ὡς γὰρ οἱ δῖνοι τῶν ἅμα κύκλῳ ⟨καὶ⟩ κάτω φερομένων σωμάτων οὐκ ἐπικρατοῦσι βεβαίως κτλ.

Οὕτω, νομίζω, γραπτέον ἀντὶ τοῦ παραδεδομ. τῶν ἅμα κύκλῳ καταφερομένων κτλ. ὡς ἐκ τῶν ἐπιφερομένων γίνεται δῆλον: ἀλλὰ κύκλῳ μὲν ὑπ' ἀνάγκης φερομένων, κάτω δὲ φύσει ῥεπόντων γίγνεταί τις ἐξ ἀμφοῖν ταραχώδης κτλ.

408 C (65, 5 κέ.) ἡ δὲ Πυθία καὶ καθ' ἑαυτὴν μέν ἐστι γενναία τὸ ἦθος, ὅταν δ' ἐκεῖ κατέλθῃ καὶ γένηται παρὰ τῷ θεῷ πλέον * * ἢ ἐκείνῃ μέλει δόξης καὶ ἀνθρώπων ἐπαινούντων ἢ ψεγόντων.

Μετὰ τὴν λ. πλέον οἱ κώδ. ἔχουσι χάσμα 20 - 23 (ὁ Ε), 10-13 (ὁ Β) γραμμ. Ἡ ἐν ταῖς ἐκδόσεσι φερομένη γραφή: πλέον ἀληθείας ἐκείνῃ μέλει ἢ δόξης καὶ ἀνθρώπων κτλ. εἶναι εἰκασία τοῦ Turn. Anon. καὶ Mez. ὁ δὲ Βερναρδ. ἐξ ἰδίας διασκευῆς ἐξέδ. πλέον ἀληθείας ἢ δόξης ἐκείνῃ μέλει καὶ ἀνθρώπων κτλ. Ὁ Pat. παρατηρῶν ὅτι ἡ λ. ἀληθείας εἶναι ἀνεπαρκὴς πρὸς συμπλήρωσιν τοῦ χάσματος, καὶ τὸ πολὺ ὀρθότερον, ὅτι ἡ ἀντωνυμ. ἐκείνῃ δὲν δύναται νὰ ἀποδοθῇ τῇ Πυθίᾳ, ἐξ ἰδίας εἰκ. ἐξέδ. πλέον ⟨οὐδὲν αὐτῇ τῆς ἀπὸ λόγων⟩ ἐν ἐκείνῳ μέλει δόξης καὶ ἀνθρώπων κτλ. Ἐμοὶ πιθανώτατον φαίνεται, ὅτι ὁ Πλούτ. ἔγραψε: πλέον ⟨ἔοικεν (ἢ: εἰκός ἐστιν), οἶμαι⟩, ἐκείνου μέλειν ⟨αὐτῇ?⟩, ἢ δόξης καὶ ἀνθρώπων κτλ.

ἤγουν ὅταν ἐκεῖ (τ. ἔ. εἰς τὸ μαντεῖον) κατέλθῃ ἡ Πυθία καὶ γένηται παρὰ τῷ θεῷ εἰκός ἐστιν, οἶμαι, πλέον μέλειν αὐτῇ ἐκείνου (τ. ἔ. τοῦ θεοῦ = ἐκείνῳ προσέχειν καὶ πειθεσθαι) ἢ δοξης καὶ ἀνθρώπων (= δόξης παρ' ἀνθρώποις) κτλ. Οὕτω συμπληρουμένου τοῦ χωρίου, καὶ ὁ νοῦς εὐοδοῦται καὶ εὐεξήγητον ἀποβαίνει, πῶς ἐξέπεσον αἱ λέξεις ΕΟΙΚΕΝ ΟΙΜΑΙ πρὸ τῶν ἐπιφερομένων ΕΚΕΙΝΟΥ ΜΕ-

τοὐναντίον παλαιογραφικῶς ἀκατανόητον εἶναι, πῶς ἦτο δυνατὸν νὰ παραλειφθῇ ἡ λ. ἀληθείας· καὶ ἄλλως δὲ δὲν πρόκειται ἐνταῦθα περὶ ἀληθείας καὶ δόξης, ἀλλὰ περὶ ἀφελοῦς, ἁπλῆς καὶ συντόμου ἀποκρίσεως, ἀφ' ἑτέρου δὲ κεκαλλωπισμένης ἐκ φιλοδοξίας. Πρβ. ὀλίγον ἀνωτέρω (65, 1) ἐνταῦθα περιβάλλειν μέτρα καὶ πλάττειν περιφράσεις καὶ γλώσσας ἐπάγειν πύσμασιν ἁπλῆς καὶ συντόμου δεομένοις ἀποκρίσεως, ἔργον ἐστὶ φιλοτίμου σοφιστοῦ καλλωπίζοντος ἐπὶ δόξῃ χρηστήριον. 397 A οὐχ ὁρᾷς...ὅσην χάριν ἔχει τὰ Σαπφικὰ μέλη κηλοῦντα καὶ καταθέλγοντα τοὺς ἀκροωμένους; 'Σίβυλλα δὲ μαινομένῳ στόματι' καθ' Ἡράκλειτον 'ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη, χιλίων ἐτῶν ἐξικνεῖται τῇ φωνῇ διὰ τὸν θεόν' ὁ δὲ Πίνδαρος 'ἀκοῦσαι' φησι 'τοῦ θεοῦ τὸν Κάδμον μουσικὰν ὀρθὰν' οὐχ ἡδεῖαν οὐδὲ τρυφερὰν κτλ.

Ἡ συμπλήρωσις τῆς δοτ. αὐτῇ τ. ἔ. τῇ Πυθίᾳ δὲν εἶναι ἀπαραίτητος, διότι καὶ παραλειπομένη δύναται νὰ ἐξυπακουσθῇ· ἄλλως δύναται νὰ παρεμβληθῇ καὶ μετὰ τὴν λ. ἔοικεν αὐτῇ, οἶμαι, ἐκείνου μέλλειν ἢ δόξης καὶ ἀνθρώπων κτλ. Χάριν τῆς φρ. ἐκείνου (τ. ἔ. τοῦ θεοῦ) μέλειν πρβ 'Αριστοφ. Πλουτ. 1118 καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει.

408 F (66, 7 κέ.) ἡ δὲ Πυθίας διάλεκτος...εὐθεῖα πρὸς τὴν ἀλήθειαν οὖσα πρὸς δὲ πίστιν ἐπισφαλὴς καὶ ὑπεύθυνος οὐδένα καθ' αὑτῆς ἔλεγχον ἄχρι νῦν παραδέδωκεν.

Ὁ Wytt. διαπορεῖ, ἂν πρέπῃ νὰ διορθωθῇ ἐπιφανὴς ἢ εὐλαβὴς ἀντὶ ἐπισφαλής. 'Αντὶ ἐπισφαλὴς καὶ ὑπεύθ. ὁ Madv. εἰκ. ἀνεπισφαλὴς καὶ ἀνυπεύθυνος. Ἡ παραδεδομ. γραφὴ καλῶς ἔχει, νομίζω, ἴσως μικρόν τι συμπληρουμένη: πρὸς δὲ πίστιν ⟨ἧ⟩ ἐπισφαλὴς καὶ ὑπεύθυνος — ἤγουν εὐθεῖα πρὸς τὴν ἀλήθειαν οὖσα ἐν σχέσει δὲ πρὸς πίστιν ἐν ᾧ μέτρῳ ἐπισφαλὴς (τοσοῦτον) καὶ ὑπεύθυνος οὐδένα κατ' αὑτῆς ἔλεγχον κτλ.

408 F (66, 14 κέ.) ἀναθημάτων δὲ καὶ δώρων ἐμπέπληκε βαρβαρικῶν καὶ Ἑλληνικῶν τὸ χρηστήριον, οἰκοδομημάτων δὲ κάλλεσι καὶ κατασκευαῖς 'Αμφικτυονικαῖς· ὁρᾶτε δήπουθεν αὐτοὶ πολλὰ μὲν ἐπεκτισμένα τῶν πρότερον οὐκ ὄντων, πολλὰ δ' ἀνειλημμένα τῶν συγκεχυμένων καὶ διεφθαρμένων.

οὕτως πάντες οἱ κώδ. καὶ κατ' αὐτοὺς ὁ Wytt. Hutt. καὶ Dü-

bner. Ὁ δὲ Βερναρδ. ἐξ ἰδίας εἰκ. ἐξέδ. οἰκοδομημάτων δ' ⟨ἐκαλλώπισε⟩ κάλλεσι κτλ., ᾧ ἀκολουθῶν καὶ ὁ Pat. μικρόν τι μεταγράψας ἐξέδ. οἰκοδομημάτων δὲ ⟨κεκαλλώπικε⟩ κάλλεσι κτλ. Τὸ χωρίον καλῶς ἔχον οὐδεμιᾶς χρῄζει διορθώσεως, νομίζω, ἄλλης, ἢ καλῆς διαστίξεως, αἰρομένης τῆς τελείας στιγμῆς μετὰ τὴν λ. Ἀμφικτυονικαῖς: οἰκοδομημάτων δὲ κάλλεσι καὶ κατασκευαῖς Ἀμφικτυονικαῖς ὁρᾶτε δήπουθεν αὐτοὶ πολλὰ μὲν ἐπεκτισμένα κτλ. Σύνταττε: ἀναθημάτων δὲ καὶ δώρων βαρβαρικῶν καὶ Ἑλληνικῶν ἐμπέπληκε (ἡ τῆς Πυθίας διάλεκτος) τὸ χρηστήριον, ὁρᾶτε δὲ δήπουθεν αὐτοὶ πολλὰ μὲν τῶν πρότερον οὐκ ὄντων ἐπεκτισμένα κάλλεσιν οἰκοδομημάτων καὶ κατασκευαῖς Ἀμφικτυονικαῖς, πολλὰ δὲ τῶν συγκεχυμένων καὶ διεφθαρμένων ἀνειλημμένα κτλ. ἡ δοτ. κάλλεσιν οἰκοδομημάτων καὶ κατασκευαῖς Ἀμφικτυονικαῖς προσδιορίζει ἀπὸ κοινοῦ τὰς μετοχ. ἐπεκτισμένα καὶ ἀνειλημμένα.

409 C (67, 14 κέ.) φιλῶ δὲ τὸν καθηγεμόνα ταύτης τῆς πολιτείας γενόμενον ἡμῖν καὶ τὰ πλεῖστα τούτων ἐκφροντίζοντα καὶ παρασκευάζοντα** ἀλλ' οὐκ ἔστιν ἄλλως ὅτι τηλικαύτην καὶ τοσαύτην μεταβολὴν ἐν ὀλίγῳ χρόνῳ γενέσθαι δι' ἀνθρωπίνης ἐπιμελείας μὴ θεοῦ παρόντος ἐνταῦθα καὶ συνεπιθειάζοντος τὸ χρηστήριον.

Μετὰ τὴν λ. παρασκευάζοντα ὑπάρχει χάσμα 20 - 25 γραμμ. ἐν τῷ κώδ. E, 30 δὲ ἐν τῷ B. Κατὰ τὸν Wytt. ἢ μικρόν τι ἢ οὐδὲν ἐλλείπει, ἂν μόνον τὸ ὅτι μεταγραφῇ εἰς ἔτι· οὕτω δὲ ἐξέδ. ἄνευ χάσματος ὁ Hutt. Κατὰ τὸν Reisk. ἢ ἐξαλειπτέαι αἱ λ. ἄλλως ὅτι (ὅπως ἔπραξεν ὁ Pat. περιγράψας αὐτάς), ἢ γραπτέον: οὐκ ἔστιν ἀνθρώπῳ γ' ὄντι εἰπεῖν (ἢ ὑπολαβεῖν) τηλικαύτην κτλ. ὅθεν ὁ Βερναρδ. εἰκ. οὐκ ἔστιν ἀληθῶς εἰπεῖν τηλικαύτην κτλ. Ὁ J. J. Hartm. ἐξαλείφει τὸ ὅτι

Ὑποτιθεμένου, ὅτι οὐδέν, ὡς ὁ Wytt. ἐκδέχεται, ἐλλείπει, κατὰ τἆλλα τὸ χωρίον εὐοδοῦται, νομίζω, ἂν γράψωμεν: παρασκευάζοντα· ἀλλ' οὐκ ἔστιν ἄλλως ποτὲ τηλικαύτην καὶ τοιαύτην μεταβολὴν ἐν ὀλίγῳ χρόνῳ γενέσθαι δι' ἀνθρωπίνης ἐπιμελείας, ἢ θεοῦ παρόντος ἐνταῦθα κτλ. Πρβ. Πλάτ. Πολιτ. 2, 366 E οὐδεὶς πώποτε ἔψεξεν ἢ ἐπήνεσε δικαιοσύνην ἄλλως ἢ δόξας τε καὶ τιμὰς καὶ δωρεὰς τὰς ἀπ' αὐτῶν γιγνομένας κτλ.

410 D (71, 2 κέ.) τὸ δὲ μικρὰ μὴ διδόναι σημεῖα γίγνεσθαι μεγά-

λων, ὦ Δημήτριε, πολλαῖς ἐστι τέχναις ἐμποδών· ἐπεὶ καὶ πολλῶν μὲν ἀποδείξεις παραιρεῖσθαι συμβήσεται πολλῶν δὲ προαγορεύσεις.

Ἀντὶ ἐστι ὀρθῶς ὁ Pat. ἐξέδ. ἔσται, ὅπερ παρέχει ὁ κῶδ. V^3 (ἤκασε δὲ καὶ ὁ Petavius) - παραιρεῖσθαι οἱ ἄριστοι κώδ. DV^1 FE Vat, παραιτεῖσθαι ὁ Barb. (διόρθ. β' χειρ.), παραιρεῖσθαι συμβήσεται οἱ κώδ. BV^3A Pet. παραιτεῖσθαι συμβήσεται Ambr. Ἐν ταῖς ἐκδόσεσι φέρεται κοινῶς ἡ γραφή: παραιρεῖσθαι συμβήσεται· ὁ Pat. ἐξ ἰδίας εἰκ. ἐξέδ. παραιρεῖσθε — οὐχὶ ὀρθῶς, ὅπερ καὶ αὐτὸς ὕστερον συνεῖδε (ἰδ. Praef XXII ὑποσημ.). Ἐκ τῆς γραφῆς τῶν ἀρίστων κωδ. παραιρεῖσθαι δύναταί τις οὐχὶ ἀπιθάνως νὰ εἰκάσῃ, ὅτι ἡ γνησία γραφὴ εἶναι παραιρήσεται

ἤγουν τὸ μὴ διδόναι μικρὰ γίγνεσθαι σημεῖα μεγάλων πολλαῖς τέχναις ἐμποδὼν ἔσται, ἐπεὶ καὶ ἀφαιρήσεται πολλῶν μὲν ἀποδείξεις πολλῶν δὲ προαγορεύσεις. 'Παραιροῦνται. ἀφαιροῦνται' Ἡσύχιος, Φώτιος καὶ 'Παραιρήσεται. ἀφαιρήσεται,' Φώτιος. οὕτω ἐξηγεῖται καὶ ἡ γραφὴ παραιΤεῖσθαι ἐκ τοῦ γνησίου παραιρήσεΤαι, οὗ παραφθαρέντος εἰς παραιρεῖσθαι ἢ παραιτεῖσθαι προσετέθη τὸ συμβήσεται Καὶ ἐν 869D τοῦτο μὲν τοῦ Θεμιστοκλέους ὁ χαρίεις συγγραφεὺς ὅσον ἐφ' ἑαυτῷ παραιρούμενος καὶ τὴν δόξαν εἰς ἕτερον μεταφέρων κτλ. οἱ κώδ. παρέχουσι πλημμελῶς παραιτούμενος, ὅπερ διωρθώθη εἰς τὸ γνήσιον παραιρούμενος ὑπὸ τοῦ Valckenaer.

410 F (72, 1 κέ.) εἰ βουλόμεθα τῷ ἡλίῳ κατὰ τὰ πάτρια τὴν νενομισμένην τάξιν ἀπαράβατον ποιεῖν.

Ἡ κοινῶς ἐν ταῖς ἐκδόσεσι φερομένη αὕτη γραφὴ εἶναι εἰκ. τοῦ Leonic. οἱ κώδ. παρέχουσι ποιοῦσι ἢ ποιῆσαι, ὁ Pat. εἰκ. μὲν περισῶσαι, προτιμᾷ δὲ τὴν εἰκ. τοῦ Hicks κυροῦσθαι. Ἴσως πιθανώτερον ἀναγνωστέον: τηρῆσαι. Πρβ. 414 F ὁ γὰρ θεὸν ἐγκαταμιγνὺς ἀνθρωπίναις χρείαις οὐ φείδεται τῆς σεμνότητος οὐδὲ τηρεῖ τὸ ἀξίωμα καὶ τὸ μέγεθος αὐτῷ τῆς ἀρετῆς. 639 B διατηρῶν δὲ τὴν τάξιν ὁμαλῶς ὁ ποιητὴς κτλ.

413 F (79, 12 κέ.) τοῦ δὲ μετρίου καὶ ἱκανοῦ καὶ μηδαμοῦ περιττοῦ πανταχοῦ δ' αὐτάρκους, μάλιστα τοῖς θεοῖς πρέποντος ἔργου, εἰ ταύτην κτλ.

Τὸ μετρίου ἐκ διορθ. τοῦ Emper. ἀντὶ τοῦ τῶν κωδ. μεγίστου· ἀντὶ δέ: τοῖς θεοῖς - ἔργου πιθανωτάτη εἶναι ἡ εἰκ. τοῦ Βερναρδ.,

ἣν ἐπιδοκιμάζει καὶ ὁ Apelt: τοῖς θείοις-ἔργοις (τὸ ἔργοις κεῖται καὶ ἔν τισι κώδ.). ἄστοχος εἶναι ἡ γραφή, ἣν ἐξ ἰδίας εἰκ. ὁ Pat. ἐξέδ.: αὐτάρκους ⟨καὶ ὡς⟩ μάλιστα τοῖς θεοῖς πρέποντος — λέγω δ' οἷον εἰ ταύτην κτλ. Ὁ J. J. Hartm. εἰκ. αὐτάρκους μάλιστα τοῖς θεοῖς πρέποντος [ἔργου] κτλ. Οὐκ ὀλίγα πράγματα παρέχουσι τοῖς κριτικοῖς τὰ ἐπιφερόμενα καὶ δὴ τὸ τέλος τῆς μακρᾶς ταύτης περιόδου:

εἰ ταύτην λαβὼν ἀρχὴν φαίη τις, ὅτι - τῆς Ἑλλάδος ἐλέγχει τὴν ἐρημίαν, ἀκριβῶς ἂν αὐτῷ παράσχοιμι τῆς εὑρισολογίας. τίνος γὰρ ἦν ἀγαθὸν κτλ.

Ἐν πρώτοις σημειωτέον, ὅτι ἡ λ. ἀρχὴν δὲν ὑπάρχει ἔν τισι κώδ. (FEVat.), ὅθεν ὁ Pat. εἰκ. ταύτῃ διαλαβὼν ἀντὶ ταύτην λαβὼν ἀρχήν· ὁ Βάσης: ταύτην ⟨αἰτίαν⟩ λαβών, ὁ δὲ Apelt. θέλει: εἰ αἰτιολογῶν φαίη τις κτλ. Τῶν εἰκασιῶν τούτων πάντως κρείττων εἶναι ἡ γραφὴ τῶν πλείστων κωδ. εἰ ταύτην λαβὼν ἀρχὴν φαίη τις κτλ. τ. ἔ. τοῦ λόγου ἢ τῆς σκέψεως ἀρχὴν Πρβ. Πλάτ. Κρίτ. 48 E ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς γένηται κτλ. αὐτ. 49 D πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν ... ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; Χάριν δὲ τῆς φρ. ἀρχὴν λαμβάνω πρβ. Διόδ. 11, 64, 3 ταύτην μὲν (διόρθ. Dind.: κωδ. τὴν) ἀρχὴν ἔλαβον (οἱ Ἀθηναῖοι) τῆς ἀλλοτριότητος κτλ. Πλούτ. Ἠθ. 320 A ἀρχὴν τοῦ λόγου τὴν ἀρχὴν τῆς πόλεως λαβόντας. αὐτ. 268 A καὶ 268 C (καὶ ἀρχὴν ποιοῦμαι) 318 D ταύτην τις ἀρχὴν ποιησάμενος κτλ. Πολὺ δυσχερέστερα εἶναι τὰ ἐν τέλει τῆς περιόδου: ἀκριβῶς ἂν αὐτῷ παράσχοιμι τῆς εὑρησιλογίας. Ὁ Xyl. ἀποδίδων καθόλου τὸ νόημα ὀρθῶς μεταφράζει: hujus ego subtililatem commenti admodum probavero. Θεωρεῖ δ' ὅμως τὴν παραδεδομ. γραφὴν πλημμελῶς ἔχουσαν καὶ δὴ τὴν λ. παράσχοιμι, ὁ Reisk. εἰκ. κἂν τούτῳ οἶδα ἀκριβῶς, ὡς ἄν τῳ παράσχοι πρόφασιν τῆς εὑρησιλογίας. Ὁ Wytt. ἀποδεχόμενος τὴν μετάφρ. τοῦ Xyl. εἰκ. ἀκριβῶς ἂν αὐτῷ ⟨μαρτυρίαν⟩ παράσχοιμι τῆς εὑρησιλογίας, ὅπερ ἐγκρίνει καὶ ὁ J. J. Hartm. ὁ Βερναρδ. μετάσχοιμι τῆς εὑρησιλογίας, ὁ Pat. ἐξ ἰδίας εἰκ. ἐξέδ.: τὴν ἐρημίαν - ἀκριβοῦς ἂν αὐτῷ παράσχοιμι τῆς εὑρησιλογίας, ὁ Schwartz τἀκριβὲς ἂν αὐτῷ

κτλ. ὁ Apelt τὴν ἐρημίαν, ἄκρον πως ἐν αὐτῷ κτλ.

Ἀδιστάκτως γραπτέον: ἀκριβῶς ἂν αὐτῷ ⟨τὰ ὦτα⟩ παράσχοιμι τῆς εὑρησιλογίας κτλ., ἤγουν ἀκριβῶς αὐτοῦ τὴν εὑρησιλογίαν ἀποδεξαίμην ἂν (Πρβ. 656 AB σφόδρ' οὖν ἀπεδεξάμεθα τὴν εὑρησιλογίαν τῶν νεανίσκων). Ἡ γεν. τῆς εὑρησιλογίας τοῦ αἰτίου = διὰ τὴν εὑρησιλογίαν, τ. ἔ. ἀκριβῶς ἂν παράσχοιμι τὰ ὦτα τῇ εὑρησιλογίᾳ αὐτοῦ. Γνωστὴ ἡ φρ. παρέχω (ἢ παραδίδωμι) κττ. τινὶ τὰ ὦτα. Πλάτ. Συμπ. 216 A εἰ ἐθέλοιμι παρέχειν τὰ ὦτα οὐκ ἂν καρτερήσαιμι κτλ. αὐτ. Κρατύλ. 396 D ἕωθεν γὰρ πολλὰ αὐτῷ (Εὐθύφρονι) συνῆ καὶ παρεῖχον τὰ ὦτα. Λουκιαν. περὶ Ὀρχ. 6, ἕτοιμος φιλικὴν ταύτην λειτουργίαν ὑποστῆναι καὶ παρασχεῖν τὰ ὦτα. αὐτ. Διόν. 5 οὐδὲν δέον παρέχειν τὰ ὦτα κώμοις γυναικείοις καὶ σκιρτήμασι σατυρικοῖς· αὐτ. περὶ Ὀρχ. 85 πείθομαί τέ σοι καὶ ἀναπεπταμένα ἔχω καὶ τὰ ὦτα καὶ τὰ ὄμματα. (Χαριέστατον τὸ ἀντίστροφον, ὃ εἶπεν ὁ Πλάτ. ἐν Συμπ. 218 B διὸ πάντες ἀκούσεσθε ... οἱ δὲ οἰκέται, καὶ εἴ τις ἄλλος ἐστὶ βέβηλός τε καὶ ἄγροικος, πύλας πάνυ μεγάλας τοῖς ὠσὶν ἐπίθεσθε). Πλουτ. Ἠθ. 535 F οὐδὲν γὰρ διαφέρουσι τῶν τὰ σκέλη τοῖς ὑποσπῶσι παρεχόντων οἱ τὰ ὦτα τοῖς κολακεύουσι παραδιδόντες. 232 F παῦσαι κατ' ἐμοῦ τὰ ὦτα χορηγῶν. ἔτι δὲ καὶ ἀπομισθοῦν τὰ ὦτα Πλάτ. Πολιτ. 75, 475 D ὥσπερ δὲ ἀπομεμισθωκότες τὰ ὦτα ἐπακοῦσαι πάντων χορῶν περιθέουσι τοῖς Διονυσίοις.

414 D (81, 2 κέ.) ἀλλ' ὥσπερ ἄλλα πολλὰ ποιοῦντος ἡμῖν ἐκείνου καὶ παρασκευάζοντος, ἐπάγει φθορὰν ἐνίοις καὶ στέρησιν ἡ φύσις, μᾶλλον δ' ἡ ὕλη στέρησις οὖσα ἀναφεύγει πολλάκις καὶ ἀναλύει τὸ γιγνόμενον ὑπὸ τῆς κρείττονος αἰτίας, οὕτω μαντικῶν οἶμαι δυνάμεων σκοτώσεις ἑτέρας καὶ ἀναιρέσεις εἶναι κτλ.

ἀναφεύγει] Πλημμελές· ὁ Xyl. εἰκ. ἀνυφαίνει, ὅπερ ἐγκρίνει καὶ ὁ Wytt. καὶ ὁ J. J. Hartm. ὁ Pat. ἀμαυροῖ. Ἐμοὶ ἱκανῶς πιθανὸν φαίνεται, ὅτι ὁ Πλούτ. ἔγραψεν: ἡ ὕλη στέρησις οὖσα ⟨τὸ⟩ εἶναι φεύγει πολλάκις καὶ ἀναλύει τὸ γιγνόμενον ὑπὸ τῆς κρείττονος αἰτίας κτλ. Πρβ, 375 C καθόλου δ' ἀμείνων οὗτός (γρ. ὁ νοῦς) ἐστιν . . . κινεῖται δὲ τῆς φύσεως τὸ μὲν γόνιμον καὶ σωτήριον πρὸς τὸ εἶναι, τὸ δ' ἀναιρετικὸν καὶ φθαρτικὸν (πρβ. τοῦ ἐξεταζομ. χωρίου τὰ συμφραζόμενα: ἐπάγει φθορὰν ἐνίοις καὶ στέρησιν ἡ φύσις, μᾶλλον δ' ἡ

ὕλη στέρησις οὖσα. . .σκοτώσεις καὶ ἀναιρέσεις εἶναι) ἀπ' αὐτοῦ καὶ πρὸς τὸ μὴ εἶναι· Πλάτ. Τίμ. 49 Ε φεύγει γὰρ οὐχ ὑπομένον (ὃ ἀεὶ καθορῶμεν ἄλλοτε ἄλλῃ γιγνόμενον) τὴν τοῦ τόδε καὶ τοῦτο καὶ τὴν τῷδε καὶ πᾶσαν ὅση μόνιμα ὡς ὄντα αὐτὰ ἐνδείκνυται φάσις.— Χάριν τοῦ πράγματος πρβ. Πλουτ. Ἠθ. 392 Α ἡμῖν μὲν γὰρ ὄντως τοῦ εἶναι μέτεστιν οὐδέν, ἀλλὰ πᾶσα θνητὴ φύσις ἐν μέσῳ γενέσεως καὶ φθορᾶς γινομένη κτλ.· αὐτ. C ὅθεν οὐδ. (γρ. οὐδ' . εἰς τὸ εἶναι περαίνει τὸ γιγνόμενον (γρ. τῶν γιγνομένων) αὐτῆς κτέ. Ἀριστοτ. Μετὰ τὰ Φυσικ. 3, 6, 9 τῶν μὲν γὰρ ἐναντίων θάτερον στέρησίς ἐστιν οὐχ ἧττον, οὐσίας δὲ στέρησις, ἡ δὲ στέρησις ἀπόφασίς ἐστιν ἀπό τινος ὡρισμένου γένους.

416 Α (85, 3 κέ.) οὐκ ἐνιαυτὸς ἀρχὴν ἐν αὑτῷ (ὡς διωρθ. ὁ Βερναρδ., κώδ. αὐτῷ) εἰς τελευτὴν ὁμοῦ τι 'πάντων ὧν φέρουσιν ὧραι' γῆ δὲ φύει περιέχων, οὐδ' ἀνθρώπων ἀπὸ τρόπου γενεὰ κέκληται.

περιέχων] ὕποπτον· οἱ κώδ. ἄλλοι ἄλλο παρέχουσι σφόδρα διαφωνοῦντες: περιεχὼς F, περιεχῶς V^1AEVat. Pet., περεχῶς Barb., προσεχῶς Ambr. BV^3 Anon., περιέχων Βας. (ᾔκασε δὲ καὶ ὁ Turn.). Ἡ τελευταία αὕτη γραφὴ φέρεται κοινῶς ἐν ταῖς ἐκδόσ. τοῦ Wytt. Hutt. Βερναρδ.· ὁ Dübner ἐξέδ. οὐκοῦν ἐνιαυτὸς - φύει περιεχῶς κτλ., ὁ Pat. ἐξέδ. περιηχώς, ὁ Schwartz εἰκ. περιεσχηκώς· Ἐκ τῶν ἐπιφερομένων: οὐδ' ἀνθρώπων ἀπὸ τρόπου καὶ τῆς γραφῆς πολλῶν κωδ. περιεχῶς (περεχῶς, προσεχῶς) φαίνεται, ὅτι ἡ ζητουμένη λ. εἶναι ἐπίρρημα, οὐχὶ μετοχή· διὸ οὐχὶ ἀπιθάνως δύναταί τις νὰ εἰκάσῃ, ὅτι τὸ χωρίον ἀρχικῶς εἶχεν ὧδε: οὐκ ἐνιαυτὸς ἀρχὴν ⟨ἔχων⟩ ἐν αὑτῷ καὶ τελευτὴν ὁμοῦ τι 'πάντων ὧν φέρουσιν ὧραι' γῆ δὲ φύει, περιττῶς οὐδ' ἀνθρώπων ἀπὸ τρόπου γενεὰ κέκληται. Σύντ. οὐ περιττῶς οὐδ' ἀπὸ τρόπου ἀνθρώπων, τ. ἔ. οὐκ ἀπιθάνως καὶ ἀλόγως οὐδὲ παρὰ τὴν συνήθειαν τῶν ἀνθρώπων γενεὰ κέκληται ὁ ἐνιαυτὸς ἀρχὴν ἔχων ἐν ἑαυτῷ καὶ τελευτὴν πάντων κτλ. Πρβ. Εὐριπ. Ἱππολ. 437 οὐ γὰρ περισσὸν οὐδὲν οὐδ' ἔξω λόγου πέπονθας. Χάριν τῆς φρ. ἀρχὴν ⟨ἔχων⟩ πρβ. 601 Β ὧραι σπόρων, ὧραι φυτειῶν, εἷς δὲ βασιλεὺς καὶ ἄρχων 'θεὸς (Πλάτ. Νόμ. 716 Α) ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχων τοῦ παντὸς κτλ. Διονύσ. Ἀλικ. Ρ. Ἀρχ. 3, 12, 4 ἐπιτηδειότατον γὰρ εἶναι τόνδε τὸν ἀριθμὸν (τ. ἔ. τῶν τριῶν) εἰς ἅπασαν ἀμφισβητουμένην πράγ-

ματος διαίρεσιν ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν ἔχοντα ἐν ἑαυτῷ.

416 E (86, 20 κέ.) μικτὸν δὲ σῶμα καὶ μίμημα δαιμόνιον ὄντως τὴν σελήνην, ⟨ἣν⟩ τῷ τῇ τούτου τοῦ γένους συνᾴδειν περιφορᾷ, φθίσεις φαινομένας δεχομένην καὶ αὐξήσεις καὶ μεταβολὰς ὁρῶντες, οἱ μὲν ἄστρον γεῶδες οἱ δ' ὀλυμπίαν γῆν οἱ δὲ χθονίας ὁμοῦ καὶ οὐρανίας κλῆρον Ἑκάτης προσεῖπον.

Οὕτω, νομίζω, συμπληρωτέον. Σύντ. μικτὸν δὲ σῶμα καὶ μίμ. δαιμόνιον ὄντως τὴν σελήνην (ἡ φύσις ἐξέθηκε, ὅπερ ἐξυπακούεται ἀπὸ κοινοῦ ἐκ τῶν ἔμπροσθεν 14), ἣν - προσεῖπον κτλ. ὁ Schwartz θέλει: μεταβολὰς ⟨ἃς⟩ ὁρῶντες (23) κτλ.

418 D (91, 7 κέ.) καὶ τετολμήσθω μετὰ πολλοὺς εἰρῆσθαι καὶ ἡμῖν, ὅτι τοῖς περὶ τὰ μαντεῖα καὶ χρηστήρια τεταγμένοις δαιμονίοις ἐκλείπουσί τε κομιδῇ συνεκλείπει τὰ τοιαῦτα καὶ φυγόντων ἢ μεταστάντων ἀποβάλλει τὴν δύναμιν, εἶτα παρόντων αὐτῶν διὰ χρόνου πολλοῦ καθάπερ ὄργανα φθέγγεται τῶν χρωμένων ἐπιστάντων καὶ παρόντων.

Ἀντὶ τὰ τοιαῦτα προδήλως γραπτ. καὶ ταῦτα, τ. ἔ. τὰ μαντεῖα καὶ χρηστήρια. Ὁ Stegmann εἰκ. ὅτι πρέπει νὰ ἐξαλειφθῇ τὸ ἐν τέλει τοῦ λόγου καὶ παρόντων, ὅπερ ἀποδέχεται καὶ ὁ J. J. Hartm. ὁ δὲ Pat. ἀντ' αὐτοῦ ἐξέδ. καὶ ἐπαφώντων. Τὸ κακὸν ἔγκειται, νομίζω, ἐν τῇ προηγουμένῃ μετοχῇ εἶτα παρόντων, καὶ τὸ χωρίον εὐοδοῦται μεταγραφόμενον ὧδε: φυγόντων καὶ μεταστάντων ἀποβάλλει τὴν δύναμιν, εἶτα (ἢ εἶτ' αὖ?) παριόντων αὐτῶν διὰ χρόνου πολλοῦ καθάπερ ὄργανα φθέγγεται τῶν χρωμένων ἐπιστάντων καὶ παρόντων = ἤγουν εἶτα παρερχομένων (=ἐπανιόντων) αὐτῶν (τ. ἔ. τῶν δαιμόνων) μετὰ μακρὸν χρόνον καθάπερ ὄργανα φθέγγεται, ἐπεὶ οἱ χρώμενοι ἐπέστησαν καὶ παρόντες εἰσίν. Πρβ. 431 B ὃν τρόπον ἐφεστῶτες αὐτοῖς καὶ παρόντες ἐνεργὰ καὶ λόγια ποιοῦσιν οἱ δαίμονες.

420 C (96, 4 κέ.) Ῥηθέντων δὲ τούτων, ὁ Ἀμμώνιος 'ὀρθῶς' ἔφη 'μοι δοκεῖ Θεόφραστος ἀποφήνασθαι· τί γὰρ κωλύει φωνὴν δέξασθαι κτλ.

Ἀντὶ Θεόφραστος ἀναγινώσκουσιν ὀρθῶς ὁ Anon. Amyot. Mez. Κλεόμβροτος, ὁ Wytt. ὑποστηρίζει τὸ παραδεδομ. Θεόφραστος, εἰς

ὃν ἀποδίδωσι τὴν ῥῆσιν: καὶ γὰρ ἀθετουμένη - ἀνυπάρκτων. Ἀλλ' ὁ λόγος οὗτος αἰτιολογεῖ τὰ προηγούμενα: τί γὰρ κωλύει κτλ. καὶ ταῦτα δὲ στενῶς συνάπτονται πρὸς τὰ προηγούμενα ὁμοίως διὰ τοῦ γὰρ αἰτιολογικοῦ· ὥστε συντακτικῶς ἡ ἐκδοχὴ τοῦ Wytt. εἶναι οὐχὶ ὀρθή· ἄλλως καὶ ὁ νοῦς τῶν λεγομένων προδήλως εἶναι τοῦ Κλεομβρότου. Πρὸς τὸ: τί γὰρ κωλύει δέξασθαι κτλ. πρβ. τὰ ἔμπροσθεν (95, 7 κέ.) ὑπολαβὼν δὲ ὁ Κλεόμβροτος 'ἔχω μὲν' ἔφη 'καὶ ἐγὼ τοιαῦτα διελθεῖν, ἀρκεῖ δὲ πρὸς τὴν ὑπόθεσιν τὸ μηδὲν ἐναντιοῦσθαι μηδὲ κωλύειν ἔχειν οὕτω ταῦτα.

420 C (96, 5 κέ.) τί γὰρ κωλύει φωνὴν δέξασθαι σεμνὴν καὶ φιλοσοφωτάτην; καὶ γὰρ ἀθετουμένη κτλ.

φωνὴν δέξασθαι σεμνὴν καὶ φιλοσοφωτάτην] οὕτως οἱ πλεῖστοι κώδ. καὶ κατ' αὐτοὺς οἱ ἐκδ., δύο κώδ. κρείττονες παρέχουσι: φωνὴν καὶ φιλοσοφωτάτην. Τὴν γραφὴν ταύτην ἐξ ἰδίας εἰκ. διορθῶν ὁ Pat. ἐξέδ. φωνεῖν 'χαῖρε φιλοσοφωτάτη (ἤ: φίλων σοφωτάτη, ἐξυπακ. δόξα, ἤ τι τοι.). Οὔτε ἡ γραφὴ αὕτη τοῦ Paton ἔχει τινὰ πιθανότητα, οὔτε ἡ ὑπόθεσις αὐτοῦ, ὅτι διασκευὴ εἶναι ἡ γραφὴ τῶν πλείστων κωδ. φωνὴν δέξασθαι σεμνὴν καὶ φιλοσοφωτάτην. Ὕποπτος ἐμοὶ φαίνεται μόνον ἡ λ. φωνήν, καὶ ἴσως ἀναγνωστέον φήμην.

Φήμην, ἂν ἡ εἰκασία μου δὲν σφάλληται, λέγων ὁ Πλούτ. ἐννοεῖ τὴν φήμην ἢ παράδοσιν περὶ ὑπάρξεως καθόλου δαιμόνων. (Πρβ 416 C), δεδείξεται μετὰ μαρτύρων σοφῶν καὶ παλαιῶν, ὅτι φύσεις εἰσί τινες κτλ. τὰ λεγόμενα καὶ θρυλλούμενα περὶ φυγῆς τῶν δαιμόνων ἢ μεταστάσεως αὐτῶν (91, 7 κέ.) τετολμήσθω μετὰ πολλοὺς εἰρῆσθαι καὶ ἡμῖν, ὅτ:... ἐκλείπουσι ... καὶ φυγόντων ἢ μεταστάντων κτλ. καὶ περὶ τοῦ θανάτου αὐτῶν (92, 25 κέ.) περὶ δὲ θανάτου τῶν τοιούτων ἀκήκοα λόγον ἀνδρὸς κτλ., ἃ περιληπτικῶς ἀναφέρει ὁ Κλεόμβροτος λέγων (95, 7 κέ.) ἔχω μέν...καὶ ἐγὼ τοιαῦτα (οἷα τὰ ἐν τοῖς κεφ. 17 καὶ 18 ἱστορηθέντα) διελθεῖν, ἀρκεῖ δὲ πρὸς τὴν ὑπόθεσιν κτλ. Πρβ. 433 C ἀμέλει δὲ καὶ τὰ τῆς φήμης συνᾴδει τῷ λόγῳ· καὶ γάρ...ἱστοροῦσιν, νομέως τινὸς κτλ. 369 B παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ νομοθετῶν εἴς τε ποιητὰς καὶ φιλοσόφους δόξα ... οὐκ ἐν λόγοις μόνον οὐδ' ἐν φήμαις, ἀλλ' ἔν τε τελεταῖς ἔν τε θυσίαις. 93 E ὥσπερ ἀφ' ἑστίας ἀρξάμενοι τῆς τοῦ βίου φήμης, ἣν ὑπὲρ φίλων βεβαίων ἀπολέλοιπεν ἡμῖν τὸν μακρὸν

καὶ παλαιὸν αἰῶνα μάρτυρα ἅμα τοῦ λόγου καὶ σύμβουλον λάβωμεν. Σεμνὴ λέγεται ἡ περὶ τῶν δαιμόνων φήμη συμφώνως πρὸς τὰ ἐξενεχθέντα ἐν 416 C φύσεις τινές εἰσι ... οὓς δαίμονας ὀρθῶς ἔχει κατὰ νόμον πατέρων ἡγουμένους καὶ ὀνομάζοντας σέβεσθαι· ἔτι δὲ λέγεται καὶ φιλοσοφωτάτη ἡ φήμη συμφώνως πρὸς τὸ ἐν 415 A ἐμοὶ δὲ δοκοῦσι πλείονας λῦσαι καὶ μείζονας ἀπορίας οἱ τὸ τῶν δαιμόνων γένος ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων . . . ἐξευρόντες. Χάριν τῆς φρ. φήμην δέξασθαι πρβ. Πλάτ. Νόμ. 4, 713 C φήμην τοίνυν παραδεδέγμεθα τῆς τῶν τότε μακαρίας ζωῆς.

420 D (96,12 κέ.) ὡς οὐ δυνατὸν εἶναι φαύλους καὶ ἁμαρτητικοὺς ὄντας μακαρίους καὶ μακραίωνας εἶναι, πολλὴν τυφλότητα τῆς κακίας ἐχούσης κτλ.

δυνατὸν εἶναι] οὕτω πολλοὶ κώδ., οἱ δὲ BV³A Pet. δυνατόν ἐστι, ἣν γραφὴν ἐξέδ. ὁ Wytt. Hutt. καὶ Dübner. Ὁ Βερναρδ, δυνατὸν εἶναι - μακρ. εἶναι, εἰκ. δέ, ὅτι πρέπει νὰ ἐξαλειφθῇ τὸ πρῶτον εἶναι, ὁ δὲ Pat. ἐξήλειψε τὸ δεύτερον ἐκδοὺς μετὰ τοῦ κώδ. E δυνατὸν εἶναι - μακραίωνας, πολλὴν ⟨τὴν⟩ τυφλότητα κτλ. Δὲν εἶναι δ' ὅμως ἀπίθανον, ὅτι ἀρχικῶς τὸ χωρίον εἶχεν ὧδε: ὡς οὐ δυνατὸν ἅμα φαύλους καὶ ἁμαρτητικοὺς ὄντας μακαρίους καὶ μακραίωνας εἶναι, πολλὴν τυφλότητα τῆς κακίας ἐχούσης κτλ.

422 A (100, 8 κέ.) ἢ ὅτε συνεγένου τἀνδρὶ τούτων οὐδὲ διεπειράθης;

Οὕτω, νομίζω, γραπτέον ἀντὶ τοῦ παραδεδομ. τούτῳ, ὅπερ μετὰ τὸ ὡρισμένον: ὁ ξένος - τἀνδρὶ παρέλκει, ἐνῷ ἡ γεν. πληθ. τούτων ἀναφέρεται εἰς τὸ περὶ πλήθους κόσμων ζήτημα, περὶ οὗ κυρίως πρόκειται, ὡς καὶ ἐκ τῶν ἐπιφερομένων δῆλον γίνεται: ἀλλ' οὐκ ἔμελλον. . . εἰ μηδὲν ἄλλο τῶν περὶ ταῦτα λιπαρὸς εἶναι καὶ πρόθυμος ἀκροατής. . .;

423 B (102, 24 κέ.) ὅθεν ἄν τις καὶ θαυμάσειεν, ὅτι τἀληθὲς εἰπὼν αὐτὸς ἑτέροις ἀπιθάνου καὶ λόγον οὐκ ἐχούσης ἀρχὴν παρέσχε δόξης· τὸ μὲν γὰρ ἕνα μὴ φυλάξαι κτλ.

Ἡ ἐν ταῖς ἐκδόσεσι φερομένη αὕτη γραφὴ δόξης εἶναι εἰκ. τοῦ Leonic. Ἐν τοῖς κώδ. κεῖται δι' αὐτῆς πλὴν τοῦ E παρέχοντος χάσμα 7 γραμμ. κατὰ τὸν Pat., ὃς εἰκ.: δι' ὁλκῆς. Ἂν ἡ εἰκ. τοῦ Leonic δὲν εἶναι ἀποδεκτή, ἴσως ἠδύνατό τις οὐχὶ ἀπιθάνως νὰ εἰ-

κάστη: ἀρχὴν παρέσχε διατριβῆς. ἤγουν ἀρχὴν ἢ ἀφορμὴν παρέσχε ζητήσεως. Πρβ Περικλ. 4 ἀλλ' ὡς μεγαλοπράγμων καὶ φιλοτύραννος ἐξωστρακίσθη καὶ παρέσχε τοῖς κωμικοῖς διατριβὴν (=ὑποκείμενον λόγου). Ἀλκιβ. 13 τοὶς κωμικοῖς ὁμοῦ τι πᾶσι διατριβὴν ἀεὶ σκωπτόμενος ἐν τοῖς θεάτροις παρεῖχεν (ὁ Ὑπέρβολος).

423 D (103, 21 κέ.) ἀγαθὸς ὢν τελέως οὐδεμιᾶς ἀρετῆς ἐνδεής ἐστιν, ἥκιστα δὲ τῶν περὶ δικαιοσύνην καὶ φιλίαν· κάλλισται γὰρ αὗται καὶ θεοῖς πρέπουσαι. μάτην δ' οὐδὲν ἔχειν οὐδ' ἄχρηστον θεὸς πέφυκεν.

θεοῖς πρέπουσαι] Τῷ Pat. ἀπαρέσκει ὁ πληθ. θεοῖς, ὅθεν θέλει: καὶ μάλιστα θεῷ πρέπουσαι — ὅπως παραλλήλως πρὸς τὸ προηγούμενον κάλλισται καὶ ἡ ἐπιθετικὴ μετοχὴ πρέπουσαι ἐξενεχθῇ ὑπερθετικῶς. Ἴσως ἡ παραδεδομ. γραφὴ καλῶς ἔχει· διότι ἡ ὑπέρθεσις κατ' οὐσίαν ἔγκειται ἐν τῇ ἐννοίᾳ τῆς λ. θεοῖς, ὅπερ πάλιν εἰς πληθ. ἐξηνέχθη, εἰ καὶ περὶ τοῦ θεοῦ καθόλου πρόκειται ἐνταῦθα, διότι ἡ δικαιοσύνη καὶ φιλία εἶναι κοινωνικαὶ ἀρεταί, ὡς ἐν τοῖς ἐπιφερομένοις λέγεται, καὶ ὁ σκοπὸς δὲ τοῦ λέγοντος εἶναι νὰ ἀποδείξῃ, ὅτι πλὴν τοῦ δημιουργοῦ θεοῦ ὑπάρχουσι καὶ ἕτεροι θεοὶ καὶ κόσμοι, πρὸς οὓς χρῆται ταῖς κοινωνικαῖς ἀρεταῖς. Ἂν ὅμως τὸ χωρίον εἶναι πλημμελῶς παραδεδομ. γραπτέον: κάλλισται γὰρ αὗται καὶ θεοπρεπέσταται. Πρβ. 780 EF ἄρχων δ' εἰκὼν θεοῦ... αὐτὸς αὑτὸν εἰς ὁμοιότητα θεῷ δι' ἀρετῆς καθιστὰς καὶ δημιουργῶν ἀγαλμάτων τὸ ἥδιστον ὀφθῆναι καὶ θεοπρεπέστατον.

431 D (123, 21 κέ.) πολλαὶ γὰρ ἅμα πράξεις διὰ μέσου καὶ ἀσχολίαι συντυγχάνουσαι διὰ τὸ μαντεῖον εἶναι καὶ θυσίαν τοὺς λόγους διεσπασμένους ἡμῖν καὶ σποράδας ἐποίησαν κτλ. Οὕτω, νομίζω, ἀναγνωστέον ἀντὶ τοῦ παραδεδομ. διεσπαρμένους. Πρβ. 351 F διασπῶν καὶ ἀφανίζων τὸν ἱερὸν λόγον, ὃν ἡ θεὸς συνάγει καὶ συντίθησι κτλ.

432 F (127, 18 κέ.) ὑγρότης δ' οὐ μόνον ὄψιν ἀμβλύνει καὶ ἀκοήν, ἀλλὰ καὶ κατόπτρων θιγοῦσα καὶ μιχθεῖσα πρὸς ἀέρα ἀφαιρεῖ τὴν λαμπρότητα καὶ τὸ φέγγος.

καὶ μιχθεῖσα πρὸς ἀέρα] Ἡ γραφὴ αὕτη, ἣν ἐξέδ. ὁ Dübner καὶ Βερναρδ. εἶναι προϊὸν εἰκασίας τοῦ Turn. Hutt. Emper. Οἱ κώδ. παρέχουσι: καὶ μῖχος (Ambr. σμῆχος) καὶ πρὸς ἀέρας· ὁ δὲ E ἀντ' αὐ-

τῶν χάσμα 23 γραμμ. κατὰ τὸν Pat. Τὸ χωρίον εἶναι δεινῶς ἐφθαρμένον, ὡς ὁ Xyl. παρετήρησεν. Ὁ Reisk. εἰκ. καὶ λύχνων καὶ πρὸς (=προσέτι) ἀέρος, ὅπερ ἐν τῇ μεταφράσει αὐτοῦ ἀπεδείχθη ὁ Kaltwasser. Ἐν τῷ ἀντιγράφῳ τοῦ Turn. φέρεται: καὶ μιχθεῖσι καὶ πρὸς ἀέρας ἀφαιρεῖ· ὅθεν ὁ Hutt. εἰκ. καὶ προσμιχθεῖσα τῷ ἀέρι κτλ. καὶ τέλος ὁ Emper. καὶ μιχθεῖσα πρὸς ἀέρα, ὁ δὲ Pat. διαπορῶν εἰκ. καὶ σμηχθεῖσα καὶ πυρὸς ἐσχάρας κτλ.

Ἐκ τῆς γραφῆς τοῦ Ambr. κώδ. καὶ σμῆχος οὐχὶ ἀπιθάνως, νομίζω, δύναταί τις νὰ εἰκάσῃ ὅτι ὁ Πλούτ. ἔγραψεν: ἀλλὰ καὶ κατόπτρων θιγοῦσα καὶ ⟨ἤχου⟩ μιχθεῖσα πρὸς ἀέρα καὶ ⟨πυρὸς⟩ ἀφαιρεῖ τὴν λαμπρότητα καὶ τὸ φέγγος — ἤγουν ἡ ὑγρότης καὶ κατόπτρων θιγοῦσα καὶ ἤχου καὶ πυρὸς ἀφαιρεῖ τὴν λαμπρότητα καὶ τὸ φέγγος πρὸς ἀέρα μιχθεῖσα. Οὕτω διορθουμένου τοῦ χωρίου καὶ ὁ νοῦς συμπληροῦται καὶ αἴρεται ἡ χασμῳδία: πρὸς ἀέρα ἀφαιρεῖ. Ὅτι καὶ περὶ τοῦ ἤχου πρόκειται, δῆλον καὶ ἐκ τῶν προλεχθέντων (19) ἀμβλύνει καὶ ἀκοὴν καὶ ἐξ ἄ. χωρίων, οἷον 390 B ἀὴρ δὲ πληγεὶς ἐν ἀκοῇ γίγνεται φωνὴ καὶ ψόφος. 721 F ὥσπερ ἐμποδὼν ὄντα τῇ φωνῇ τὸν ἀέρα καὶ φθείροντα τὴν οὐσίαν, ἧς (τ. ἔ. φωνῆς) αὐτὸς οὐσία καὶ σχῆμα καὶ δύναμίς ἐστιν. Ἄνευ δὲ τούτων ἔδει δήπου τὰς ἀνωμάλους νύκτας οἷον ὁμιχλώδεις καὶ δυσχειμέρους ἠχωδεστέρας εἶναι τῶν αἰθρίων. . .ἡμέραν ψυχρὰν ἠχωδεστέραν εἶναι 722 BC ὁ γὰρ ἀήρ, ὥσπερ εἴρηται, σῶμα τῆς φωνῆς καὶ οὐσίαν ἐμπαρέχων ἑαυτόν, ἐὰν μὲν ᾖ σταθερός, εὐθύπορα καὶ λεῖα καὶ συνεχῆ τὰ τῶν ψόφων μόρια καὶ κινήματα πόρρωθεν διαδίδωσι· νηνεμία γὰρ ἠχῶδες καὶ γαλήνη· χάριν τῆς φρ. πυρὸς - λαμπρότητα πρβ. 48 C ὥσπερ οὖν εἴ τις ἐκ γειτόνων πυρὸς δεόμενος, εἶτα πολὺ καὶ λαμπρὸν εὑρὼν κτλ.

433 A (127, 21 κέ.) τοὐναντίον πάλιν αὖ περιψύξει τινὶ καὶ πυκνώσει τοῦ πνεύματος οἷον βαφῇ σιδήρου τὸ προγνωστικὸν μόριον ἐντείνεσθαι καὶ στομοῦσθαι τῆς ψυχῆς οὐκ ἀδύνατόν ἐστι.

βαφῇ σιδήρου] Οὕτως ὁ Reisk. καὶ Wytt. ἐξ ἀναγνώσεως τῆς γραφῆς ἐνίων ἀντιγράφων· ἐν ἄλλοις πάλιν φέρεται ἡ γραφ. σίδηρος· ὁ Barb. παρέχει βαφῆς (ἴσως βαφαῖς ?) κατὰ τὸν Pat., ὅς ἐξεδ. βαφῇ [σιδήρου] τὸ προγνωστικὸν κτλ. Ἴσως ἀναγνωστέον: οἷον βαφῇ σίδηρον — ἤγουν οὐκ ἀδύνατόν ἐστιν ἐντείνεσθαι καὶ στομοῦ-

σθαι τὸ προγνωστικὸν τῆς ψυχῆς μόριον, οἷον σίδηρον βαφῇ, περιψύξει τινὶ καὶ πυκνώσει τοῦ πνεύματος.

433 B (128, 6 κέ.) καθάπερ τῆς μὲν πορφύρας ὁ κύαμος τῆς δὲ κρόκου τὸ νίτρον δοκεῖ τὴν βαφὴν ἄγειν μεμιγμένον.

Ἀντὶ τοῦ πλημμελοῦς ἄγειν ὁ Wytt. εἰκ. αὔξειν, ὅπερ ἐγκρίνει καὶ ὁ J. J. Hartm. Γραπτέον: τὴν βαφὴν ⟨συνάγειν⟩ μεμιγμένον κτλ., ἤγουν πηγνύειν τὴν βαφήν. πρβ. κατωτέρω (14) καθάπερ ἐν Ὀλυμπίᾳ τὴν τέφραν προσπλάττουσι τῷ βωμῷ καὶ περιπηγνύουσιν ἐκ τοῦ Ἀλφειοῦ παραχέοντες ὕδωρ, ἑτέρων δὲ πειρώμενοι ποταμῶν οὐδενὶ δύνανται συναγαγεῖν καὶ κολλῆσαι τὴν τέφραν.

435 C (134, 11 κέ.) καίτοι θεῷ μὲν ἢ δαίμονι αἰτίαν τὴν πλείστην ἀνατιθέντας εἰκός ἐστι ταῦτα ποιεῖν καὶ νομίζειν.

θεῷ μὲν ἢ δαίμονι] Ἡ γραφὴ αὕτη εἶναι εἰκ. τοῦ Turn. καὶ Vulc., τῶν κωδ. παρεχόντων: θεοῦ μὲν ἢ δαίμονος. Ὁ Pat. ἐξέδ. θεῷ μὲν [ἢ δαίμονος] αἰτίαν κτλ. Μᾶλλον γραπτέον: θεῷ μὲν ἢ δαίμοσιν αἰτίαν κτλ. Περὶ τῶν δαιμόνων ὁ λόγος ἀεὶ εἰς πληθ. ὡς ὑπηρετῶν τοῦ θεοῦ, ἢ τῆς θείας προνοίας. Πρβ. κατωτέρω (135, 1 κέ.) δεινὸν ἡγοῦμαι μὴ Θεῷ καὶ προνοίᾳ τὴν εὕρεσιν αὐτοῦ καὶ ἀρχὴν ...ἀνατίθεσθαι. 436 F ὅτε πᾶσαν ἐνδιδοὺς...δύναμιν ἥλιος νόμῳ πατέρων θεός ἐστιν ἡμῖν· ἔπειτα δαίμονας ἐπιστάτας τοὺς περιπόλους καὶ φύλακας κτλ. 418 D τοῖς περὶ τὰ μαντεῖα καὶ χρηστήρια τεταγμένοις δαιμονίοις. αὐτ. E δαίμονας ὑπηρέτας κτλ.

435 F (135, 13 κέ.) ἐκεῖνος γὰρ ἀνὴρ Ἀναξαγόραν μὲν ἐμέμψατο τῶν παλαιῶν, ὅτι ταῖς φυσικαῖς ἄγαν ἐνδεδεμένος αἰτίαις κτλ.

οὕτω, νομίζω, γραπτέον ἀντὶ τοῦ παραδεδομ. τὸν παλαιόν. Πρβ. Πλάτ. Ἱππ. μείζ. 283 A τῶν γὰρ προτέρων περὶ Ἀναξαγόρου λέγεται πολλὴ ἀμαθία κατὰ τὸν σὸν λόγον. αὐτ. Σοφ. 243 A κλεινοῖς καὶ παλαιοῖς ἀνδράσιν ἐπιτιμᾶν.

436 A (135, 26 κέ.) οἷον εὐθὺς ἡ περιβόητος ἐνταῦθα τοῦ κρατῆρος ἕδρα καὶ βάσις, ἣν Ἡρόδοτος ὑποκρητηρίδιον ὠνόμασεν, αἰτίας μὲν ἔσχε τὰς ὑλικάς, πῦρ καὶ σίδηρον καὶ μάλαξιν διὰ πυρὸς καὶ δι' ὕδατος βαφὴν κτλ.

αἰτίας μὲν ἔσχε τὰς ὑλικὰς] οὕτως αἱ ἐκδόσεις Βερναρδ. καὶ Pat. ἐκ διορθ. τοῦ Madv. Οἱ κώδ. ἄλλοι ἄλλα. 'Mira in libris varietas, αἰτ. μὲν ἔχοντας ὑλικὰς V¹ Ambr. Barb. (μὲν in locum post ἔχ.

transposuit sec. m.) αἰτ. ἔχον τὰς μὲν ὑλικὰς marg. B (a. pr. m.). αἰτ. μὲν ἔχοντος ὑλικὰς V^3BA Pet. αἰτίας (αἰτίαν E) μὲν ἔχοντος ὑλικὴν FE Vat. Ταῦτα ὁ Paton. Ὁ Wytt. Hutt. καὶ Dübner ἐξέδ. αἰτίας μὲν ἔχοντος ὑλικάς. Διά τῆς διορθ. τοῦ Madv. καίπερ καλῆς δὲν εὐοδοῦται δ' ὅμως τελείως τὸ χωρίον, παραμένον συντακτικῶς τραχὺ καὶ ἀσύνηθες: αἰτ. μὲν ἔσχε τὰς ὑλικάς, πῦρ καὶ σίδηρον κτλ. ἀντί: αἰτ. μὲν ἔσχεν ὑλικάς, πῦρ καὶ σίδηρον ... τὴν δὲ κυριωτέραν ἀρχὴν κτλ. Διὸ συμπληρωτέον, νομίζω, ὧδε: ὠνόμασεν, ⟨ἀναγκαίας⟩ αἰτίας μὲν (ἢ: ἀναγκαίας μὲν αἰτίας) ἔσχε τὰς ὑλικάς, πῦρ καὶ σίδηρον...τὴν δὲ κυριωτέραν ἀρχὴν κτλ. Πρβ. ἐν τοῖς ἔμπροσθεν (135, 15 κέ.) ταῖς φυσικαῖς ἄγαν ἐνδεδομένος αἰτίαις καὶ τὸ κατ' ἀνάγκην τοῖς τῶν σωμάτων ἀποτελούμενον πάθεσι μετιὼν καὶ διώκων, τὸ οὗ ἕνεκα καὶ ὑφ' οὗ βελτίονας οὔσας αἰτίας καὶ ἀρχὰς ἀφῆκεν (ὁ Ἀναξαγόρας)· αὐτὸς δὲ (ὁ Πλάτων) πρῶτος...τῷ μὲν θεῷ τὴν ἀρχὴν ἀποδιδοὺς τῶν κατὰ λόγον ἐχόντων, οὐκ ἀποστερῶν δὲ τὴν ὕλην τῶν ἀναγκαίων πρὸς τὸ γιγνόμενον αἴτιον, ἀλλὰ συνορῶν κτλ. καὶ (137, 10 κέ.) δύο πάσης γενέσεως αἰτίας ἐχούσης, οἱ μὲν σφόδρα παλαιοὶ θεολόγοι καὶ ποιηταὶ τῇ κρείττονι μόνῃ τὸν νοῦν προσέχειν εἵλοντο...ταῖς δ' ἀναγκαίαις καὶ φυσικαῖς οὐκέτι προσῄεσαν αἰτίαις. Ἀντιδιαστέλλεται δηλονότι ἡ κυριωτέρα (κρείττων ἢ βελτίων) αἰτία ἢ ἀρχὴ πρὸς τὰς ἀναγκαίας (κατ' ἀνάγκην) καὶ φυσικὰς ἢ ὑλικὰς αἰτίας.

436 B (136, 5 κέ.) τὴν δὲ κυριωτέραν ἀρχὴν καὶ ταῦτα κινοῦσαν καὶ διὰ τούτων ἐνεργοῦσαν ἡ τέχνη καὶ ὁ λόγος τῷ ἔργῳ παρέσχε.

τῷ ἔργῳ] οὕτως οἱ κώδ. πάντες πλὴν τοῦ κρείττονος [V^1] Barb. παρέχοντος τῷ ἐρίῳ κατὰ τὸν Pat. Ἡ κοινὴ τῷ ἔργῳ καὶ ἄλλως ὕποπτος προσπίπτει μετὰ τὸ ὀλίγον ἀνωτέρω λεχθὲν [4] γενέσθαι τὸ ἔργον. Ὁ Pat. εἰκ. Χίῳ. Ἐμοὶ οὐχὶ ἀπίθανον φαίνεται, ὅτι ὁ Πλούτ. ἔγραψεν: τῷ ἠρίῳ 'Ἠρία· μνημεῖα' καὶ 'ἠρίον· μνῆμα, τάφος'. Ἡσύχιος. 'Ἤριον, ὄνομα τόπου, ἠρίον δὲ ὁ τάφος'. Σουίδας Πρβ. Ὁμ. Ἰλ. 126 φράσσατο (Ἀχιλλεὺς) Πατρόκλῳ μέγα ἠρίον ἠδὲ οἷ αὐτῷ. Εἰ καὶ σπανιώτερον, ἀπαντᾷ δ' ὅμως καὶ παρὰ τοῖς πεζοῖς ἡ λ. ἠρίον.

436 B (136, 7 κέ.) καὶ μὴν τῶν γε μιμημάτων τούτων καὶ εἰδώ-

λων ὁ ποιητὴς καὶ δημιουργὸς ἐπιγέγραπται 'γράψε Πολύγνωτος-ἀκρόπολιν' ὡς ὁ ρ ᾶ τ α ι γράψας.

ὁρᾶται] Οὕτως οἱ κώδ. πάντες, ὁ δὲ Barb. ὁρᾶτε, οὕτω δὲ ἀποδίδουσιν καὶ αἱ μεταφρ, τοῦ Amyot. καὶ Xyl. 'ut videtis' καὶ ἐξέδ. ὁ Pat 'Ο Wytt. νομίζει ὅλην τὴν φρ. ὡς ὁρᾶται γράψας πλημμελῆ καὶ ἐφθαρμένην. Ὅθεν ὁ Stegmann εἰκ., ὅτι πρέπει νὰ ἐξαλειφθῇ ἢ ἡ φρ. ὅλη. ἢ ἂν ἀναγνώσωμεν μετὰ τοῦ Amyot καὶ Xyl. ὡς ὁρᾶτε, ἡ μετοχὴ γράψας μόνον. 'Ο Βερναρδ. εἰκάζει: ὡς ἀρετῇ (τ. ἔ. δι' οἰκείαν ἀρετήν). 'Ο J. J. Hartm. ὑπολαμβάνει τὴν φρ. ὡς corruptam annotationem ἀντὶ : ἃ ὁρᾶται γράψας. 'Ανενδοιάστως γραπτέον : ὡς χ ά ρ ι τ ι γράψας πρβ. Τιμολ. 36 ταῖς δὲ Νικομάχου γ ρ α φ α ῖ ς καὶ τοῖς 'Ομήρου στίχοις μετὰ τῆς ἄλλης δυνάμεως καὶ χ ά ρ ι τ ο ς πρόσεστι τὸ δοκεῖν εὐχερῶς καὶ ῥᾳδίως ἀπειργάσθαι. αὐτ. 35 ὥσπερ ἔργῳ συντελουμένῳ δ η μ ι ο υ ρ γ ὸ ς ἐπιθείς τινα χ ά ρ ι ν θεοφιλῆ καὶ πρέπουσαν. Περικλ. 13 ἀναβαινόντων δὲ τῶν ἔργων ὑπερηφάνων μὲν μεγέθει, μορφῇ δὲ ἀμιμήτων καὶ χ ά-ρ ι τ ι. Μάρκελλ. 21 ἡδονὴν ἐχούσαις καὶ χ ά ρ ι ν 'Ελληνικὴν καὶ πιθανότητα διαποικίλας ὄψεσι τὴν πόλιν. Κίμ. 2 τοὺς τὰ καλὰ καὶ πολλὴν ἔχ οντα χ ά ρ ι ν. . . ζωγραφοῦντας κτλ. Δίων. καὶ Βρούτ. συγκρ. τοῦτον, (τ. ἔ. τὸν χαλκοῦν ἀνδριάντα τοῦ Βρούτου) ὕστερον ἰδὼν ὁ Καῖσαρ χ α ρ ι έ ν τ ω ς εἰργασμένον κτλ. —Ἔτι τροπικώτερον ἡ λ. χ ά ρ ι ς λέγεται καὶ ἐπὶ πράξεων Τιμ. 3 ταῖς ἄλλαις πράξεσιν (τοῦ Τιμολέοντος) ἐπηκολούθησε χ ά ρ ι ς ἐπικοσμοῦσα τὴν ἀρετὴν τοῦ ἀνδρός. Λουκούλλ. 33 δόξαν δὲ καὶ χ ά ρ ι ν οὐδεμίαν (Λουκούλλου) πράξεις ἔσχον.

436 BC (136. 15 κέ.) ζητῶν δὲ καὶ διδάσκων τὰ παθήματα καὶ τ ὰ ς μ ε τ α β ο λ ά ς, ἃς ὤχρᾳ μιχθεῖσα σινωπὶς ἔσχεν καὶ μέλανι μηλιάς, ἀφαιρεῖται κτλ.

μεταβολὰς] Οἱ πλείονες κώδ., οἱ δὲ κρείττονες V[1] Barb. διαβολάς, ὁ ἄριστος Ambr. διαφοράς, ὅπερ ἴσως καὶ τὸ γνήσιον εἶναι· ἀπιθανώτατον πάντων εἶναι ἡ γραφ. διαφθοράς, ἣν ἐξέδ. ὁ Pat. σημειούμενος. ὅτι μᾶλλον ἀρέσκει αὐτῷ τὸ φθορὰς ἢ συμφθοράς Δὲν πρόκειται περὶ τῶν μίξεων αὐτῶν καθ' ἑαυτάς, ἀλλὰ περὶ τῶν ἐξ αὐτῶν προερχομένων παθημάτων (τ. ἔ. ἀλλοιώσεων) καὶ διαφορῶν τῶν χρωμάτων. Πρβ. 'Αριστοτ. περὶ Χρωμ. 2, 11 (Didot) κατὰ δὲ

'Προσάντης· σκληρός, ἐναντίος, δυσχερής, ἐχθρός, ἀηδής.' Ἡσύχιος. Πρβ. 77 D μηκέτι προσάντη μηδ' ὄρθιον ἄγαν ἀλλὰ ῥᾳδίαν καὶ λείαν καὶ δι' εὐπετείας εἶναι τὴν ὁδόν. 66 B καὶ τοῦτο μάλιστα τοῖς κόλαξιν εὐλήπτους καὶ πλαγίους παραδίδωσιν, ἀπὸ τῶν σφόδρα προσάντων καὶ ἀντιτύπων. 796 B ὅσα δ' ἐστὶν ἀντίτυπα καὶ προσάντη καὶ καθάπερ τὰ φάρμακα δάκνει παραχρῆμα καὶ λυπεῖ κτλ. Κάτ. (νεώτ.) 1 τοῖς κολακεύουσι τραχὺς ὢν καὶ προσάντης. Δίων 8 οὐ γὰρ μόνον ἀνδρὶ νέῳ καὶ διατεθρυμμένῳ τὰ ὦτα κολακείαις ἄχαρις ἦν συγγενέσθαι καὶ προσάντης, πολλοὶ δὲ καὶ τῶν πάνυ χρωμένων αὐτῷ... κατεμέμφοντο τῆς ὁμιλίας, ὡς ἀγροικότερον καὶ βαρύτερον πολιτικῶν χρειῶν κτλ., καὶ πλχ.

96 B (232, 26 κέ.) ἐπείπερ οὐκ ἔστι ⟨φίλῳ⟩ φίλον μὴ συναδικεῖσθαι κτλ. εἰ καὶ τὸ φίλῳ καὶ παραλειπόμενον ἐξυπακούεται, νομίζω ὅμως ὅτι ἐν τῷ προκειμένῳ χωρ. εἶναι ἀπαραίτητον χάριν ἐμφάσεως.

96 C (233, 16 κέ.)(1) οὕτως ἔνιοι τῶν φίλων οὐδὲν ἀπολαύσαντες εὐτυχούντων συναπόλλυνται δυστυχοῦσι. καὶ τοῦτο μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ κτλ.

Ἀντὶ τοῦ ἀτόπου φιλόσοφοι ὁ Sauppe εἰκ. φιλόστοργοι. Πιθανώτερον γραπτ. φιλόφιλοι. Πρβ. Ἀριστοτ. Ρητ. 1381 b2 6 κέ. Καὶ ὅλως τοὺς σφόδρα φιλοφίλους καὶ μὴ ἐγκαταλείποντας· μάλιστα γὰρ φιλοῦσι τῶν ἀγαθῶν τοὺς φιλεῖν ἀγαθούς.

(1) Ἀνεκοινώθη καὶ ἐν τῷ ἑβδομαδιαίῳ περιοδικῷ Berliner Philologische Wochenschrift (25 Ἀπριλίου) 1914 στ. 541.

αὐτ. 1389 α 37 κέ. καὶ φ ι λ ό φ ι λ ο ι καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν (εἰσὶν οἱ νέοι) διὰ τὸ χαίρειν τῷ συζῆν καὶ μήπω πρὸς τὸ συμφέρον κρίνειν μηδέν. ὥστε μηδὲ τοὺς φίλους· αὐτ. Ἠθ. Νικ. 1155 α 29 τοὺς γὰρ φιλοφίλους ἐπαινοῦμεν· αὐτ. 1159 α 33 κέ. Μᾶλλον δὲ τῆς φιλίας οὔσης ἐν τῷ φιλεῖν (ἢ ἐν τῷ φιλεῖσθαι), καὶ τῶν φ ι λ ο φ ί λ ω ν ἐπαινουμένων. . . ὥστε ἐν οἷς τοῦτο γίνεται κατ᾽ ἀξίαν. οὗτοι μ ό ν ι μ ο ι φ ί λ ο ι καὶ ἡ τούτων φιλία.— Ἡ αὐτὴ ἀκριβῶς φθορὰ ἐγένετο καὶ ἐν τῷ χωρ. τῶν Ἠθ. τοῦ Πλουτ. 120 A καὶ φιλοίκειος καὶ φιλόσοφος (γρ. φιλόφιλος. ἴδ. τὴν οἰκ. παρατήρησιν).

98 E (239, 16 κέ.) κουφότατον ἵπποι καὶ ὠκύτατον. ἀνθρώπῳ δὲ θέουσι· μάχιμον κύων καὶ θυμοειδές. ἀλλ᾽ ἄνθρωπον φυλάττει. ἡ δ ύ τ α τ ο ν ἰ χ θ ὺ ς καὶ πολύσαρκον ὗς, ἀνθρώπῳ δὲ τροφὴ καὶ ὄψον ἐστί.

Τὸ ἡδύτατον πλημμελές· ἔνιοι κώδ. (Mosc. Ald. Bas.) παραλείπουσιν αὐτό. Ὁ Naber εἰκ. ἡδυφάγον, ὁ Παπαβασιλείου ἰλυφάγον. Ἴσως ἀναγνωστ. ὑδατοτραφὲς ἰχθὺς πρβ. Ἐμπεδοκλ. (Diels, Vorsokratiker [2] Τόμ. Γ´ σ. 181. 2) θῆρές τ᾽ οἰωνοί τε καὶ ὑ δ α τ ο θ ρ έ μ μ ο ν ε ς ἰ χ θ ῦ ς· (αὐτ. σ. 182. 5) ὑ δ α τ ο θ ρ έ μ μ ο ν α. ἰ χ θ ῦ ς. (αὐτ. σ. 180. 9 ἰ χ θ ύ σ ι ν ὑ δ ρ ο μ ε λ ά θ ρ ο ι ς). Πλουτ. Ἠθ. 911 D τοῖς ἐναλίοις φυτοῖς τρόφιμόν ἐστι (τὸ θαλάττιον ὕδωρ) καὶ πότιμον ὥσπερ τοῖς ἰ χ θ ύ σ ι ν. Καὶ αἱ αἴγειροι λέγονται ὑδατοτρεφεῖς παρ᾽ Ὁμήρῳ (Ὀδ. ρ 208 ἀμφὶ δ᾽ ἄρ᾽ α ἰ γ ε ί ρ ω ν ὑ δ α τ ο τ ρ ε φ έ ω ν ἦν ἄλσος).

Ἡ ὑποκειμένη ἐν τῷ προκειμένῳ χωρ. ἰδέα εἶναι, ὅτι τὰ ἄλογα ζῷα, εἰ καὶ πολυειδῶς ὡπλίσθησαν πρὸς ἄμυναν καὶ ἰσχυρότερα ἐπλάσθησαν ὑπὸ τῆς φύσεως ἢ καὶ ἄλλως περιφρουρήθησαν ὑπὸ τοῦ περιέχοντος (τ. ἔ. τοῦ ἀέρος ἢ τῆς θαλάσσης), ἐδαμάσθησαν ὅμως ὑπὸ τοῦ ἀνθρώπου καὶ ἐπ᾽ ὠφελείᾳ αὐτοῦ χρήσιμα κατέστησαν πάντα τά τε χερσαῖα καὶ τὰ πόντια καὶ ἀέρια. Πρὸς τοῖς ἄλλοις ἀναφέρεται καὶ ὁ ἰχθὺς, ὅστις ζῶν καὶ τρεφόμενος ἐν τῷ ὕδατι θὰ ἦτο δυσθήρατος, ἂν μὴ ἐπενοεῖτο ὑπὸ τοῦ ἀνθρώπου ἡ ἁλιευτική. Πρβ. ὀλίγον ἀνωτ. (11 κέ.) ἢ βραχὺ μὲν σθένος ἀνέρος· ἀλλὰ | ποικιλίᾳ πραπίδων | δ ε ι ν ὰ μὲν φ ῦ λ α π ό ν τ ο υ | χθονίων τ᾽ ἀερίων τε | δάμναται κτλ.

98 F (240, 5 κέ.) ἀλλ᾽ ἐν πᾶσι τούτοις ἀτυχέστεροι τῶν θηρίων

ἐσμέν· ἐμπειρίᾳ δὲ καὶ μνήμῃ καὶ σοφίᾳ καὶ τέχνῃ κατ' Ἀναξαγόραν σ φ ῶ ν τ' α ὐ τ ῶ ν χ ρ ώ μ ε θ α καὶ βλίττομεν καὶ ἀμέλγομεν καὶ φέρομεν καὶ ἄγομεν συλλαμβάνοντες κτλ.

σφῶν τ' αὐτῶν χρώμεθα] Δεινῶς ἐφθαρμένα. Ὁ Reiske εἰκ. σφῶν ⟨διαφέροντες. τί ἐστιν, ᾧ⟩ αὐτῶν ⟨οὐ⟩ χρώμεθα (τούτῳ ἀκολουθεῖ ἐν τῇ μεταφρ. αὐτοῦ ὁ Kaltw.). ὁ Hutt. κατ' Ἀναξαγόραν ⟨διαφέροντες⟩ ἑκάστῳ παντὶ (ἀντὶ σφῶν τε), ὁ Matthaei (Christ. Frid. παρὰ Hutt.) τούτων τε αὐτῶν περιγιγνόμεθα (ἢ: ἀσφαλεστέρᾳ τε αὐτῶν χρώμεθα) καὶ βλίττομεν κτλ., ὁ Wytt. σφῶν αὐτοῖς τε χρώμεθα καὶ βλίττομεν. ὁ Madv. πόνῳ τε αὐτῶν χρώμεθα. ὁ Naber σαρξὶ τ' αὐτῶν χρώμεθα. ὁ Παπαβασιλείου: συῶν τ' αὐτῶν ⟨περιγιγνόμεθα καὶ τοῖς ἄλλοις⟩ χρώμεθα. ὁ Apelt λόφῳ τ' αὐτῶν χρώμεθα. ὁ Βερναρδ. ἐρίῳ τ' αὐτῶν χρώμεθα κτλ. Ὁ Diels (Vorsokratiker [2] Τόμ. Γ'. σ. 322. 15) τὴν παραδεδομ. γραφὴν δεχόμενος μεταφράζει: wir benutzen *die uns eigene* Erfahrung und Gedächtniskraft und Weisheit und Kunst und so zeideln und melken wir κτλ.

Τὸ χωρίον φαίνεται ἐλλιπὲς καὶ ἴσως εὐοδοῦται ἀναγινωσκόμενον ὧδε: ἐμπειρίᾳ δὲ . . . καὶ τέχνῃ κατ' Ἀναξαγόραν ἰσχὺν τ' αὐτῶν ⟨χειρούμενοι⟩ χρώμεθα καὶ βλίττομεν κτλ.

Πρβ. Πλουτ. Ἀποσπ. (Τόμ. Ζ'. σ. 170. 16 κἑ.) ἀρκεῖ γὰρ ὅτι μηδὲν πονεῖν δεομένοις (τοῖς ζῴοις) χ ρ ώ μ ε θ α προκάμνουσι καὶ μοχθοῦσιν 'ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς' ὡς Αἰσχύλος φησὶν 'ἀντίδουλα καὶ πόνων ἐκδέκτορα' χ ε ι ρ ω σ ά μ ε ν ο ι καὶ καταζεύξαντες. Πλάτ. Νόμ. 7. 824 Α ἄρκυσί τε καὶ πάγαις ἀλλ' οὐ φιλοπόνου ψυχῆς νίκῃ χ ε ι ρ ο υ μ έ ν ω ν τ ὴ ν ἄγριον τῶν θηρίων ῥ ώ μ η ν. Διόδωρ. 3. 25. 3 καὶ σπανίως μὲν ὑπὸ τῶν ἀλκιμωτάτων ζῴων αὐτοὶ διαφθείρονται, τὰ δὲ πολλὰ δόλῳ τ ὴ ν ἐ κ β ί α ς ὑ π ε ρ ο χ ὴ ν χ ε ι ρ ο ῦ ν τ α ι (οἱ Κυνηγοί, γείτονες τῶν Αἰθιόπων).

101 D (247. 19 κἑ.) αὐτάρκης ἔσῃ, ἂν μάθῃς τί τὸ καλὸν κἀγαθόν ἐστι· τρυφήσεις ἐν πενίᾳ καὶ βασιλεύσεις ⟨πλουτῶν?⟩ καὶ τὸν ἀπράγμονα βίον καὶ ἰδιώτην οὐδὲν ἧττον ἀγαπήσεις ἢ τὸν ἐπὶ στρατηγίαις καὶ ἡγεμονίαις.

Οὕτω ἴσως συμπληρωτέον, ὡς δύναταί τις νὰ εἰκ. ἐκ τῶν ἐπιφερο-

μένων (24 κέ.): εὐφρανεῖ σε πλοῦτος πολλοὺς εὐεργετοῦντα καὶ πενία πολλὰ μὴ μεριμνῶντα κτλ.

101 D (247, 23 κέ.) οὐ βιώσῃ φιλοσοφήσας ἀηδῶς, ἀλλὰ πανταχοῦ ζῆν ἡδέως μαθήσῃ καὶ ἀπὸ πάντων.

Ἀντὶ τοῦ ἀτόπου ἐνταῦθα φιλοσοφήσας γραπτ. ἴσως φιλοψυχήσας· διότι πρόκειται περὶ τῶν πολλῶν, οἷς ἀνάρμοστον ὡς ἀδύνατον τὸ φιλοσοφῆσαι, ἕνεκεν ἀγνοίας τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐπιζητούντων τὸ ἡδὺ ἐν τῷ πλούτῳ κττ. Πρβ. 100 C ταὐτὸ δὴ τοῦτο τοῖς πράγμασιν ὑπάρχον ἐξαπατᾷ τοὺς πολλοὺς ὡς, ἂν οἰκίας μεγάλας περιβάλωνται καὶ πλῆθος ἀνδραπόδων καὶ χρημάτων συναγάγωσιν, ἡδέως βιωσομένους· τὸ δ' ἡδέως ζῆν καὶ ἱλαρῶς οὐκ ἔξωθέν ἐστιν, ἀλλὰ τοὐναντίον ὁ ἄνθρωπος... ὥσπερ ἐκ πηγῆς τοῦ ἤθους προστίθησιν κτλ. 101 B ποῦ τοίνυν τὸ ἡδὺ τῆς κακίας ἐστίν, εἰ μηδαμοῦ τὸ ἀμέριμνον καὶ τὸ ἄλυπον μηδ' αὐτάρκεια μηδ' ἀταραξία μηδ' ἡσυχία; αὐτ. C ἄθροιζε χρυσίον, σύναγε ἀργύριον... ἂν μὴ τὰ πάθη τῆς ψυχῆς καταστορέσῃς καὶ τὴν ἀπληστίαν παύσῃς κτλ.

106 D (259, 23 κέ.) τί γὰρ τὸ χαλεπόν ἐστι καὶ τὸ δυσανιῶν καὶ ἐν τῷ τεθνάναι;

καὶ ἐν τῷ] Κατὰ τὸν Reiske ὁ καὶ πρέπει νὰ ἐξαλειφθῇ, ὅπερ καὶ ἔπραξεν ὁ Hercher ἐκδοὺς ἐν τῷ τεθν. Ὁ Wytt. καὶ Hutt. διατηροῦσιν αὐτὸν δεχόμενοι, ὅτι ἐξέπεσεν ἐπίθετόν τι συνδεόμενον πρὸς τὰ προηγούμενα τὸ χαλεπὸν καὶ τὸ δυσανιῶν. Ἴσως συμπληρωτέον: καὶ ⟨καινὸν⟩ ἐν τῷ τεθνάναι. Πρβ. 104 D ἵν' εἰδείημεν ὅτι καινὸν ἀτυχεῖν οὐδὲν ἀνθρώπῳ ἀλλὰ πάντες ταὐτὸ πεπόνθαμεν.

106 E (260, 2 κέ.) πότε γὰρ ἐν ἡμῖν αὐτοῖς οὐκ ἔστιν ὁ θάνατος; καί, ᾗ φησιν Ἡράκλειτος, ' ταὐτό γ' ἔνι ζῶν καὶ τεθνηκὸς καὶ τὸ ἐγρηγορὸς καὶ τὸ καθεῦδον κτλ.

οὐκ ἔστιν] Οὕτω οἱ ἄλλοι ἐκδόται πάντες· ἄνευ ἀνάγκης ὁ Bernard. ⟨ἔστιν ἢ⟩ οὐκ ἔστιν ὁ θάν. Μᾶλλον τὰ ἐπιφερόμενα ἴσως ἀναγνωστ.: οὐχ, (ἀντί: καί)· ᾗ φησιν Ἡράκλειτος, ' ταὐτό γ' ἔνι ζῶν καὶ τεθνηκός; κτλ.

116 B (283, 22 κέ.) ἔχομεν γὰρ τὸ ζῆν ὥσπερ παρακαταθεμένοις θεοῖς ἐξ ἀνάγκης, καὶ τούτου χρόνος οὐδείς ἐστιν ὡρισμένος

τῆς ἀποδόσεως, ὥσπερ οὐδὲ τοῖς τραπεζίταις τῆς τῶν θεμάτων, ἀλλ' ἄδηλον πόθ' ὁ δοὺς ἀπαιτήσει.

παρακαταθεμένοις] Οὕτως οἱ κώδ. πάντες καὶ οἱ ἐκδόται· ὁ δὲ Βερναρδ. ἐξ ἰδίας εἰκ. ἐξέδ. παρὰ καταθεμένοις, οὐχὶ καλῶς, ὡς πολλαχόθεν ὑπὸ ἄλλων κατεδείχθη. Ὁ Wytt. εἰκ. ὅτι ἐξέπεσεν ἡ μετοχὴ ἀποδώσοντες, ὅπερ ἐγκρίνει ὁ J. J. Hartman· ὁ Hercher ἐξέδ. ὥσπερ ⟨ἐπὶ⟩ παρακαταθεμένοις θεοῖς, ὁ Kurtz καὶ ὁ Naber εἰκ. ὀφείλομεν (ἀντὶ ἔχομεν) γὰρ τὸ ζῆν κτλ., ὁ Βάσης ὥσπερ παρὰ καταθεμένων θεῶν. Ἀδιστάκτως γραπτ. ὥσπερ παρακατατεθειμένον θεοῖς κτλ. (ὡς πρὸ ἐμοῦ παρετήρησε καὶ ὁ Παπαβασιλείου. Ἀθην. 10. 172), ἤγουν ἔχομεν τὸ ζῆν ὥσπερ παρακαταθήκην τῶν θεῶν. Πρβ. ὀλίγον ἀνωτ. (13) τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα κτλ. Θουκ. 2. 72. 3 ἐπειδὰν δὲ παρέλθῃ (ὁ πόλεμος) ἀποδώσομεν ὑμῖν, ἃ ἂν παραλάβωμεν (πόλιν καὶ οἰκίας)· μέχρι δὲ τοῦδε ἕξομεν παρακαταθήκην. Ἀριστοτ. Ἠθ. Νικ. 1178 b 11 κέ. ἢ γελοῖοι φανοῦνται (οἱ θεοὶ) συναλλάττοντες καὶ παρακαταθήκας ἀποδιδόντες κτλ.

117 C (286. 20 κέ.)(1) ἐὰν ταχέως (ἀποθάνῃ τις), ὀδύρονται λέγοντες 'ἀνηρπάσθη'· ἐὰν μακρῶς, μέμφονται ὅτι καταφθινήσας καὶ τιμωρηθεὶς ἀπέθανε.

καὶ τιμωρηθεὶς] τὴν παραδεδομ. ταύτην γραφ. ὁ Wytt. ὑποστηρίζων (Animadv. Tom. I σ. 776 κέ.) ἐξηγεῖ excarnificatus obiit: ad diuturnum cruciatum traditus. Ὁ Βερναρδ. ἀντὶ τιμωρηθεὶς εἰκ. ταλαιπωρηθείς. Ὁ Apelt καὶ ἀμαυρωθείς. Ἀναγνωστ. μᾶλλον: καταφθινύσας καὶ καταμαρανθείς. Πρβ. 560 C φύλλοις, ὡς Ὅμηρος ἔφη, παραπλησίως ἀπομαραινομένων παντάπασι καὶ φθινόντων ἐν ὀλίγῳ κτλ. 792 B ὥσπερ οἱ σπόγγοι ταῖς γαλήναις ἐννεκρωθεὶς καὶ καταμαρανθεὶς (ὁ Λεύκολλος). 806 C πιέζουσιν ὑπὸ φθόνου καὶ καταμαραίνουσιν.

117 E (287. 19 κέ.) πεπαιδευμένων δ' ἐστὶν ἀνθρώπων ὑπειληφέναι ὅτι βραχὺν χρόνον προειλήφασιν ἡμᾶς οἱ δοκοῦντες ἄωροι τοῦ ζῆν ἐστερῆσθαι.

Οὕτω ἴσως ἀναγνωστ. ἀντὶ τοῦ παραδεδομ. προειληφέναι, παραφθαρέντος ἐκ τοῦ ἐπιφερομένου προειλήφασιν. Ὑπείληφα=νομίζω,

(1) Ἰδὲ καὶ Berl Philol. Woch. ἔ. ἀ. στ. 542.

ἡγοῦμαι κττ. Πρβ. Δημοσθ. 18. 10 εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων καὶ μηδενὸς τῶν μετρίων... χείρονα κἀμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γιγνώσκετε κτλ.· καὶ ἀπαρεμφάτῳ (ὡς ἐν τῷ ἐξεταζομένῳ χωρίῳ) αὐτ. 123 οἰκοδομῆσαι δὲ τοὺς προγόνους ταυτὶ τὰ δικαστήρι' ὑπείληφα, οὐχ ἵνα συλλέξαντες ὑμᾶς κτλ. αὐτ. 269 καὶ γὰρ οὕτω πως ὑπείληφα. ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι πάντα τὸν χρόνον κτλ.

117 F (288. 5 κέ.) ἀλλὰ μεταβάλλειν (δεῖ τοὺς πενθοῦντας) ἐπὶ τὸ κρεῖσσον καὶ ἀνθρωπικώτερον, πειρωμένους καὶ σπουδάζοντας ἐντυγχάνειν ἀνδράσι μὴ τοῖς συλλυπουμένοις καὶ διεγείρουσι τὰ πένθη διὰ κολακείαν, ἀλλὰ τοῖς ἀφαιρουμένοις τὰς λύπας διὰ τῆς γενναίας καὶ σεμνῆς παρηγορίας κτλ.

διὰ τῆς γενναίας] Ἄτοπον τὸ ἄρθρ. τῆς· διὸ ὁ Hercher ἐξήλειψεν αὐτό. Ἴσως ὅμως εἶναι λείψανον φθορᾶς, οἷον: δι' ἰατρικῆς γενναίας καὶ σεμνῆς παρηγορίας. Πρβ. κατωτέρω (289. 8 κέ.) δεῖ τὸ ἀλγοῦν τῆς ψυχῆς ἀποθεραπεύειν 'παιωνίοις λόγου φαρμάκοις. 112 F(=Πλάτ. Πολιτ. 10, 604 D) ἀλλ' ἐθίζειν τὴν ψυχὴν ὅ τι τάχιστα γίγνεσθαι περὶ τὸ ἰᾶσθαί τε καὶ ἐπανορθοῦν τὸ πεσόν τε καὶ νοσῆσαν, ἰατρικῇ θρηνῳδίαν ἀφανίζοντας.

118 E (290. 1 κέ.) Περικλέα δὲ τὸν Ὀλύμπιον προσαγορευθέντα... πυθόμενον ἀμφοτέρους αὐτοῦ τοὺς υἱοὺς μετηλλαχέναι τὸν βίον, Πάραλόν τε καὶ Ξάνθιππον, ὥς φησι Πρωταγόρας εἰπὼν οὕτως 'τῶν γὰρ υἱέων—ἀμηχανίην'.

εἰπὼν] Οὕτως ἔκ τινων κωδ. (V καὶ Turn. εἴπων) οἱ ἄλλοι ἐκδόται ἀντὶ τῆς κοινῆς εἰπεῖν, ἣν ἐξέδ. ὁ Βερναρδ. Ὁ Reiske θέλει: Ξάνθιππον [ὡς] φησι Πρωταγόρας κτλ. Ἴσως συμπληρωτέον καὶ γραπτέον τὸ χωρίον ὧδε: πυθόμενον ἀμφοτέρους αὐτοῦ (ἀντὶ αὐτοῦ) τοὺς υἱοὺς μετηλλαχέναι τὸν βίον, Πάραλόν τε καὶ Ξάνθιππον ⟨νηπενθῶς⟩, ὥς φησι Πρωταγόρας, ὑπομεῖναι τοῦτο (κώδ. εἴπων οὕτως) 'τῶν γὰρ υἱέων - ἀμηχανίην'. τ. ἔ. τὸ νηπενθῶς - ὑπομεῖναι ἐκδεκτέον ὡς παράφρασιν τῆς τοῦ Πρωταγόρου ἐκφράσεως νηπενθέως ἀνέτλη. Ἄλλως ἐκτίθενται ὑπὸ τοῦ Πλουτάρχου τὰ περὶ τοῦ θανάτου τῶν υἱῶν αὐτοῦ καὶ ἄλλων οἰκείων ἐν τῷ βίῳ τοῦ Περικλέους (36), καὶ δὴ πιθανώτερον.

Ἡ διαφορὰ αὕτη εἶναι ἐκ τῶν σπουδαιοτάτων τεκμηρίων ὑπὲρ τῆς

νοθεύσεως τοῦ Παραμυθητικοῦ πρὸς Ἀπολλώνιον (ἴδ. Volkmann, Leben, Schriften und Philosophie des Plutarch von Chaeronea, I Teil σ. 140 κέ.), ἐκτὸς ἂν ὑποθέσῃ τις, ὅπερ δὲν εἶναι ἴσως καὶ πάντῃ ἀπίθανον, ὅτι ὁ Πλούταρχος χάριν ῥητορικοῦ πάθους ἐξέθηκε τὸ γεγονὸς κατὰ τὴν ἀφήγησιν τοῦ Πρωταγόρου.

119 E (292. 23 κέ.) ἀλλ' ἴσως ὑποτυχὼν ἂν φαίης, Ἀπολλώνιε φίλτατε, σφόδρ' ἦν ἐ π ι τ ε τ ε υ γ μ έ ν ο ς ὁ νεανίσκος Ἀ π ο λ λ ώ ν ι ο ς ἐ ν μ ο ί ρ α ι ς καὶ σὲ ἔδει ὑπ' ἐκείνου τελείου γενομένου κηδευθῆναι μεταλλάξαντα τὸν βίον.

ἐπιτετευγμένος - Ἀπολλώνιος ἐν μοίραις] Οὕτως οἱ πλεῖστοι κώδ. (ὁ Ν ἐπιτεταμένως), ἄλλοι ἐπιτετευμένος (τοῦ Xyl. ἐπιτεταγμένος, ἐν δὲ τῇ ὤᾳ ἐπιτετευγμένος - Ἀπόλλωνι καὶ μοίραις D. Ἀπολλώνιος: καὶ μοίραις ὁ B. Ἀπολλώνιος μοίραις Jannot. Χωρίον δυσχερές. Ὁ Reiske εἰκ. ἐπεσπευμένος ἢ ἐπιτεταχυσμένος nimis vita a Parcis oppressus et ante tempus avocatus (τούτῳ ἀκολουθεῖ ἐν τῇ μεταφρ. ὁ Kaltw. 'der junge Apollonius ist gar zu geschwinde hinweggerafft worden'). Ὁ Wytt. τὸ μὲν πρῶτον ἤκ. ἀποτετευγμένος iniquas habuit Parcas (ἢ ἐπιτεταμένος brevi spatio inclusus, ex justo spatio in brevius redactus), εἶτα δὲ (Animadv. - I. 2 σ. 790) ἐπειγόμενος ἐν μοίραις (ἢ: μοίραις). Ἀντὶ Ἀπόλλωνι καὶ μοίραις ὁ Madv. εἰκ. Ἀπόλλωνι καὶ μούσαις.

Τὸ χωρίον εὐοδοῦται ἐν τῇ ὑπὸ τῶν πλείστων κωδ. παραδεδομ. γραφῇ μικρόν τι συμπληρουμένῃ ἴσως: ἀλλ' ἴσως ὑποτυχὼν ἂν φαίης, Ἀπολλώνιε φίλτατε, ⟨ὥς σοι⟩ σφόδρ' ἦν ἐ π ι τ ε τ ε υ γ μ έ ν ο ς ὁ νεανίσκος Ἀπόλλωνι καὶ Μοίραις (τοῦτο σὺν τῷ κώδ. D) καὶ σὲ ἔδει κτλ., ἤγουν ὁ νεανίσκος ἦν σφόδρα ἐπιτυχῶς δεδωρημένος σοι ὑπὸ τοῦ Ἀπόλλωνος καὶ τῶν Μοιρῶν. Τῶν δύο δοτικῶν ἡ μὲν σοι ἀναφορικὴ καὶ δὴ χαριστική, ἡ δὲ Ἀπόλλωνι καὶ Μοίραις τοῦ ποιητικοῦ αἰτίου. Ἡ ἐπίτευξις λέγεται ἐν σχέσει πρὸς τὴν γέννησιν τοῦ νεανίσκου ἐν ἡλικίᾳ τοῦ πατρὸς τοιαύτῃ, ὥστε μεταλλάξας οὗτος τὸν βίον νὰ κηδευθῇ ὑπὸ τοῦ υἱοῦ τελείου γενομένου.

Μοιραγέτης κυρίως καὶ πρωτίστως εἶναι ὁ τὸ σύμπαν καὶ τὰς τύχας αὐτοῦ διέπων Ζεύς· ἀλλ' ἐν δευτέρῳ λόγῳ καὶ ὁ Ἀπόλλων ὡς ἐκφαίνων διὰ τοῦ μαντείου τὰς βουλὰς τοῦ Διός. Πρβ. Παυσαν. 10.

24, 4 ἐν δὲ τῷ ναῷ (τῷ ἐν Δελφοῖς) πεποίηται μὲν Ποσειδῶνος βωμός, ὅτι τὸ μαντεῖον τὸ ἀρχαιότατον κτῆμα ἦν καὶ Ποσειδῶνος, ἕστηκε δὲ καὶ ἀγάλματα Μοιρῶν δύο· ἀντὶ δὲ αὐτῶν τῆς τρίτης Ζεύς τε Μοιραγέτης καὶ Ἀπόλλων σφίσι παρέστηκε Μοιραγέτης κτλ. Τὴν ἀπὸ τοῦ θανάτου διάσωσιν τοῦ Ἀδμήτου ἐπιτυγχάνει διὰ δόλου παρὰ τῶν Μοιρῶν ὁ Ἀπόλλων παρ' Εὐριπίδῃ ἐν Ἀλκ. 11 κἑ. ὃν θανεῖν ἐρρυσάμην, Μοίρας δολώσας· ἤνεσαν δέ μοι θεαὶ Ἄδμητον ᾅδην τὸν παραυτίκ' ἐκφυγεῖν κτλ. αὐτ. 30 κἑ. Φοῖβ': ἀδικεῖς... Οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου | διακωλῦσαι, Μοίρας δολίῳ | σφήλαντι τέχνῃ κτλ.

Κατὰ ταῦτα ἡ τοῦ κώδ. D γραφ. Ἀπόλλωνι καὶ Μοίραις, ἣν ἐξέδ. ὁ Βερναρδ. εἶναι ἡ μόνη ὀρθὴ γραφὴ ἀντὶ Ἀπολλώνιος καὶ (ἢ: ἐν) μοίραις τῶν ἄλλων κωδ., ἄτοπος δὲ καὶ ἡ τοῦ Madv. εἰκ. μούσαις ἀντὶ μοίραις, ὅπερ δέον διὰ κεφαλαίου νὰ γραφῇ.

120 A (293, 11 κἑ.)(1) οὗτος δ' ἐπὶ τῆς εὐανθεστάτης ἡλικίας προαπεφοίτησεν... φιλοπάτωρ γενόμενος καὶ φιλομήτωρ καὶ φιλοίκειος καὶ φιλόσοφος, τὸ δὲ σύμπαν εἰπεῖν φιλάνθρωπος κτλ.

Ἀντὶ τοῦ ἀτόπου φιλόσοφος ἀναγνωστ. ἴσως φιλόφιλος. Πρβ. 101 F (ἔνθα περὶ τοῦ αὐτοῦ νέου ὁ λόγος): νεανίσκου... διαφερόντως τά τε πρὸς θεοὺς καὶ τὰ πρὸς γονεῖς καὶ φίλους ὅσια καὶ δίκαια διαφυλάξαντος Ἀριστοτ. π. Ἀρετ. καὶ Κακ. 1251 b 33 ἀκολουθεῖ δὲ τῇ ἀρετῇ χρηστότης...ἔτι δὲ καὶ τὰ τοιαῦτα οἷον φιλοίκειον εἶναι καὶ φιλόφιλον καὶ φιλέταιρον καὶ φιλόξενον καὶ φιλάνθρωπον καὶ φιλόκαλον· αὐτ. 1250 b 31 ἀκολουθεῖ δὲ τῇ ἐλευθεριότητι ἡ τοῦ ἤθους ὑγρότης καὶ εὐαγωγία καὶ φιλανθρωπία καὶ τὸ εἶναι ἐλεητικὸν καὶ φιλόφιλον καὶ φιλόξενον καὶ φιλόκαλον κτλ. (ἰδ. χωρ. 96 C καὶ τὴν οἰκείαν παρατήρησιν).

120 B (293, 25 κἑ.) εἰ δ' ὁ τῶν παλαιῶν ποιητῶν τε καὶ φιλοσόφων λόγος ἐστὶν ἀληθής, ὥσπερ εἰκὸς ἔχειν οὕτω, καὶ τοῖς εὐσεβέσι τῶν μεταλλαξάντων ἔστι τις τιμή... καλὰς ἐλπίδας ἔχειν σε δεῖ περὶ τοῦ μακαρίτου υἱέος σου κτλ.

Οὕτω διεστιγμένον τὸ χωρίον ὀρθῶς ἐξέδ. ὁ Hutt. ἐξ εἰκ. τοῦ Reiske (ἀντί: ἔχειν. οὕτω), οὐδ' εἶναι ἀνάγκη ἄλλης διορθ., ὡς ὁ J. J. Hartman εἰκ. ἔχειν. οὕτω [καὶ] τοῖς εὐσεβέσι κτλ.

125 E (307, 15 κἑ.) οὐ μὴν ἀλλὰ καὶ μικρολογία καὶ γλισχρό-

(1) Berl. Philol. Woch. ἔ. ἀ. στ. 54 1/2

της ἐνίους ἀναγκάζει πιεζοῦντας οἴκοι τὰς ἐπιθυμίας καὶ κατισχναίνοντας ἐμπίπλασθαι κτλ.

πιεζοῦντας] Οὕτως οἱ κώδ. πάντες καὶ οἱ ἄλλοι ἐκδόται· ἡ γραφὴ αὕτη βεβαιοῦται καὶ ὑπὸ τοῦ Εὐσταθ. Ὀδ. μ. p. 1710, 36 λέγεται καὶ πιεζεῖν... καὶ ἔστιν ἡ τοῦ περισπωμένου χρῆσις καὶ παρὰ Πλουτάρχῳ καὶ ἑτέροις· αὐτ. Ὀδ. δ. p. 1500, 62 καὶ Πλούταρχος πιεζοῦντες φησί· καὶ ἕτεροι δὲ ὁμοίως αὐτῷ κτλ. (Πρβ. Ἀλκιβ. 2 ἐν μὲν γὰρ τῷ παλαίειν πιεζούμενος ὑπὲρ τοῦ μὴ πεσεῖν ἀγαγὼν πρὸς τὸ στόμα τὰ ἅμματα τοῦ πιεζοῦντος, οἷος ἦν διαφαγεῖν τὰς χεῖρας. Θησ. 1 οἱ ἱστορικοὶ τὰ διαφεύγοντα τὴν γνῶσιν αὐτῶν τοῖς ἐσχάτοις μέρεσι τῶν πινάκων πιεζοῦντες, αἰτίας παραγράφουσιν ὅτι κτλ.) Διατὶ ὁ Hercher καὶ Βερναρδ. ἐνταῦθά τε καὶ ἐν 126 E ἀντὶ τῶν παραδεδομ. τύπων πιεζοῦντας καὶ πιεζοῦμεν ἐξέδ. πιέζοντας καὶ πιέζομεν, ἄδηλον.

126 E (310, 2 κἑ.) ἔν τε τούτοις (ταῖς καύσεσι καὶ καταπλάσμασι) γιγνόμενοι πιεζοῦμεν σφόδρα τὰς ἁμαρτίας, ἐναπερειδόμενοι τῇ μνήμῃ καὶ καθάπερ οἱ πολλοὶ νῦν μὲν ἀέρας νῦν δὲ χώρας ἐπιμεμφόμενοι νοσώδεις ἐπιδημίας τέ τινας λέγουσιν, ἐξαιρούμενοι τῆς αἰτίας τὴν ἀκρασίαν καὶ φιληδονίαν.

ἐναπερειδόμενοι] Οὕτως οἱ κώδ. πάντες καὶ οἱ ἄλλοι ἐκδόται· ὁ Hercher ἐξ ἰδίας διορθ. καὶ τούτῳ ἀκολουθῶν ὁ Βερναρδ. ἐξέδ. ἀντερειδόμενοι (ὁ Η. Παπαγεωργίου εἰκ. ἀντεπερειδόμενοι), πρότερον δ' ὁ Mezer. ἤκ. ἀνταπερειδόμενοι -λέγομεν (ἀντὶ λέγουσιν). Τὴν προτ.: ἐπιδημίας (ἐκ διορθ. Xyl., ἀποδημ. οἱ κώδ.) τέ τινας λέγουσιν, ἐξήλειψεν ὁ Hercher καὶ Βερναρδ. ἄνευ ἀποχρῶντος λόγου, ὡς κατωτέρω δειχθήσεται.

Τὸ ἐν πᾶσι τοῖς κώδ. φερόμενον ἐναπερειδόμενοι εἶναι ἡ μόνη ὀρθὴ γραφή, κάλλιστα εὐοδοῦσα τὸ χωρίον· ἤγουν κατὰ τὰς ἀρρωστίας συστέλλομεν (ἐλαφρύνομεν) σφόδρα τὰς (περὶ τὴν δίαιταν ἡμῶν) ἁμαρτίας, ὅταν ἐναποτυπῶμεν (=ἐναπερειδόμενοι) αὐτὰς ἐν τῇ μνήμῃ καὶ οἱ πολλοὶ ἐξ ἡμῶν πᾶν ἄλλο αἰτιῶνται καὶ προφασίζονται ἀέρας ἢ χώρας νοσώδεις καὶ ἐπιδημίας τινάς, ἐξαιροῦσι δὲ μόνον τὴν ἀληθῆ αἰτίαν, τ. ἔ. τὴν ἀκρασίαν καὶ φιληδονίαν· ὡς κατωτέρω διὰ παραδείγματος (ὥσπερ ὁ Λυσίμαχος...) ἐξηγεῖται, συνιστᾷ ὁ Πλούτ. νὰ ἀναγνωρίζωμεν, ὅτι διὰ παρεκτροπήν τινα ἡμῶν αὐτῶν καὶ ἠρρωστή-

σαμεν καὶ ὑπέστημεν πολλὰ λυπηρὰ ἐπακόλουθα· (15) ὁ γὰρ ἐκ τῶν τοιούτων ἀναλογισμῶν δηγμὸς αἱμάσσει τὴν μνήμην, ὥστε οἷον οὐλὴν παραμένουσαν ἐν τῷ ὑγιαίνειν εὐλαβεστέρους ποιεῖν περὶ τὴν δίαιταν κτλ. Χάριν τοῦ διανοήματος πρβ. 476 F ἡ σύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος' οἷον ἕλκος ἐν σαρκὶ τῇ ψυχῇ τὴν μεταμέλειαν αἱμάσσουσαν ἀεὶ καὶ νύσσουσαν ἐναπολείπει κτλ. Καὶ ἐν τούτῳ καὶ ἐν τῷ ἐξεταζομένῳ χωρ. πρόκειται περὶ νύξεως, τ. ἔ. δηκτικῆς ἐναποτυπώσεως ἐν τῇ ψυχῇ (ἢ τῇ μνήμῃ), ὥστε οἷον οὐλὴ παραμένουσα νὰ ποιῇ ἡμᾶς εὐλαβεστέρους περὶ τὴν δίαιταν, ὅταν ὑγιαίνωμεν εἰς τὸ μέλλον. Πρβ. Κλημ. Ἀλεξ. Στρωμ. 2 p. 487 ἑκάστη δὲ ἀπάτη συνεχῶς ἐναπερειδομένη (ἐντυπουμένη ἐν τῇ ψυχῇ) τὴν φαντασίαν ἐν αὐτῇ τυποῦται. Πλουτ. Ἠθ. 236 D ἕτερος (Λάκων)... φαντασιωθεὶς δαιμόνιόν τι ἐπέδραμε τῇ λόγχῃ διαράμενος, καὶ ἐναπερείδων εἶπε 'πῆ με φεύγεις, δὶς ἀποθανουμένη ψυχή;'

Τὸ ῥῆμα ἀπερείδω, σημ. στερεῶς ἐμπηγνύω, στηρίζω. ''Απηρείσατο· ἔπηξεν.' Ἡσύχιος ''Απερείδομαι τὸν πόνον· ἀντὶ τοῦ ἀποτίθημι, ἀκουμβίζω... Ἀπηρείσατο· ἠκούμβησεν.... ἔπηξεν, ἀπέθετο. Πολύβιος κτλ. Σουΐδας.

Πρὸς ἔμπηξιν καὶ στήριξιν ἀπαιτεῖται 1) δύναμις, ἀφ' ἧς ὁρμᾶται ἡ ἐνέργεια, ὅθεν (ἡ πρόθ. ἀπό), 2) ἀντικείμενον ἐφ' οὗ (εἰς, πρὸς ὃ ἢ ἐν ᾧ) γίνεται ἡ στήριξις. Πρβ. Ψευδολουκιαν. Ἔρωτ. 15 ἀπαντικρὺ τῆς Θεοῦ καθεζόμενος (ὁ νεανίας) ὀρθὰς ἐπ' αὐτὴν διηνεκῶς τὰς τῶν ὀμμάτων βολὰς ἀπήρειδεν (=τῆς συνηθείας ἐκάρφωνε). Αὐτ. Θεῶν διάλ. 20. 8 οὐ γὰρ ἐθέλει (ἡ ὄψις) ἀφίστασθαι ῥαδίως, ἀλλ' ἔνθ' ἂν ἀπερείσῃ τὸ πρῶτον, τούτου ἔχεται κτλ. Ἀριστοτ. Ζῴ. Ἱστ. 4. 5 ταῖς δ' ἀκάνθαις ὁ ἐχῖνος χρῆται ὡς ποσίν· ταύταις γὰρ ἀπερειδόμενος καὶ κινούμενος μεταβάλλει τὸν τόπον κτλ. Σφοδρὰ δ' ἀπέρεισις καὶ εἰς βάθος ἀπολείπει καὶ μόνιμα ἴχνη, ἀποτυπώματα· πρβ. Θεόφρ. Φυτ. Αἰτ. 6. 9. 15. Ἐμμένει γὰρ μᾶλλον τὰ ἴχνη τῶν λαγῶν διὰ τὸ σφοδρῶς ἀπερείδεσθαι καὶ εἰς βάθος. Πλάτ. Συμπ. 190 A ὀκτὼ τότε οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι ταχὺ ἐφέροντο κύκλῳ. Πλουτ. Καῖσ. 66 καὶ πολλοὶ κατετρώθησαν ὑπ' ἀλλήλων εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας (=ἐμπηγνύντες) κτλ. Τροπικῶς αὐτ. Ἠθ. 167 F πάντας ἐπὶ

τὴν τύχην καὶ τὸ αὐτόματον ἀπερειδομένου (τοῦ ἀθέου) τοὺς ὀδυρμοὺς (=ἐπιρρίπτοντος, ἀναφέροντος). 705 Α μέλος δὲ καὶ ῥυθμὸς καὶ ὄρχησις καὶ ᾠδὴ παραμειψάμεναι τὴν αἴσθησιν, ἐν τῷ χαίροντι τῆς ψυχῆς ἀπερείδονται τὸ ἐπιτερπὲς καὶ γαργαλίζον (=στηρίζουσι). 775 Ε οὐκ ἔχοντες δ' οἱ Λακεδαιμόνιοι ὅπῃ τὸν θυμὸν ἀπερείσονται, ἐκτὸς ὅρων ἔρριψαν κτλ. (=τῷ τῆς συνηθείας 'ποῦ νὰ ξεθυμαίνουν). Πρβ. Σουίδ. 'Καὶ ἀπερείσασθαι, ἐκβαλεῖν, ἐκκενῶσαι· ὥσπερ εἰς ἐκείνους βουλόμενοι ἀπερείσασθαι τὸν θυμόν. Καὶ Ἰώσηπος· πρὸς τὸν αἴτιον ἀπερείσασθαι ἔλεγε τὴν ὀργήν· (ἀπερείσασθαι οὖν ἐκκενῶσαι κτλ). Περικλ. 32 Καὶ ψήφισμα Διοπείθης ἔγραψεν εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας, ἀπερειδόμενος εἰς Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν.

Κατὰ ταῦτα τὸ παραδεδ. ἐν-απερειδόμενοι τῇ μνήμῃ κάλλιστα ἔχει ἐν τῷ περὶ οὗ ὁ λόγος χωρίῳ· ἔτι δ' ἀπαντᾷ παρὰ Πλουτ. καὶ τὸ ῥ. συν-επερείδω· Καῖσ. 8 Κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος αὐτῷ (τῷ Καίσαρι) κτλ. Κικ. 21 εἶτα δεξάμενος Κάτων καὶ τῷ λόγῳ σφοδρῶς συνεπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν· (ὅτι καὶ ἐν τοῖς δυσὶ τούτοις χωρ. πρέπει νὰ ἀναγνώσωμεν, ὡς καὶ ἐν τῷ κατὰ πάντα ὁμοίῳ Περικλ. 32, συναπερείσαντος καὶ συναπερείσας, δύναταί τις οὐχὶ ἀπιθάνως νὰ εἰκ. Ὡς μετὰ ταῦτα εἶδον ἡ γρ. συνεπερείσας ἐν τῷ χωρ. Κικ. 21 εἶναι διόρθ. τοῦ Κοραῆ ἐκ παραβολῆς πρὸς τὸ χωρ. Καῖσ. 8 συνεπερείσαντος. Οἱ κώδ. παρέχουσι: ἐναπερείσας συναπερρείσας ἢ συναπερείσας).

Διορθώσεως χρήζουσι τὰ ἐπιφερόμενα:

126 Ε (310. 4 κέ.) καὶ καθάπερ οἱ πολλοί, νῦν μὲν ἀέρας, νῦν δὲ χώρας ἐπιμεμφόμενοι νοσώδεις, ἀποδημίας τέ τινας λέγουσιν, ἐξαιρούμενοι τῆς αἰτίας τὴν ἀκρασίαν καὶ φιληδονίαν· ἀλλ' ὥσπερ ὁ Λυσίμαχος ἐν Γέταις κτλ.

καὶ καθάπερ - λέγουσιν] Πρόκειται μὲν καθόλου περὶ πάντων τῶν ἀνθρώπων ἐν τῷ κεφαλαίῳ τούτῳ (9), ἐκφράζεται δὲ ὁ Πλούτ. εἰς τὸ α' πληθ. πρόσωπον καὶ ἀνωτέρω (309. 27 κέ.) οὕτω καὶ ἡμεῖς οὐδέποτε μεμνήμεθα... ἔν τε τούτοις γιγνόμενοι πιεζόμεθα κτλ., καὶ κατωτέρω (310, 13), διεφθείραμεν· διὸ τὸ ἐν τῷ

μεταξὺ παρεμβληθὲν τριτοπρόσωπον λέγουσιν παρέχει πράγματα. Ἀντ' αὐτοῦ ὁ Meziriac συνεπινεύοντος καὶ τοῦ Wytt. εἰκ. λέγομεν. συντάττων, ὡς φαίνεται: καί. καθάπερ οἱ πολλοὶ (ποιοῦσι), νῦν μὲν ἀέρας νῦν δὲ χώρας ἐπιμεμφόμενοι ἀποδημίας τέ τινας, λέγομεν· ὁ Hercher κατὰ τὴν συνήθειαν αὐτοῦ (ἀκολουθεῖ δὲ καὶ ὁ Βερναρδ.) ἐξήλειψεν ἁπλῶς τὰς λ. ἀποδημίας τέ τινας λέγουσιν. Ἀλλ' ἀντὶ νὰ εὐοδωθῇ τὸ χωρ., ὡς ἐξεδόθη, δυσχερέστερον κατέστη, ἐξαλειφθέντος τοῦ κυρίου ῥήμ. τοῦ δ' μέρους τοῦ συμπλεκτικοῦ λόγου: πιεζοῦμεν σφόδρα τὰς ἁμαρτίας... καὶ καθάπερ οἱ πολλοὶ κτλ.— Πάντως φαίνεται ὅτι ἐξέπεσέ τι τῆς ἀρχικῆς γραφ. καὶ ἴσως εὐοδοῦται τὸ χωρίον συμπληρούμενον ὧδε: πιεζοῦμεν σφόδρα τὰς ἁμαρτίας... καὶ καθάπερ ⟨παῖδες⟩ οἱ πολλοὶ νῦν μὲν ἀέρας νῦν δὲ χώρας ἐπιμεμφόμενοι νοσώδεις ἐπιδημίας τέ τινας λέγουσιν, ἐξαιρούμενοι κτλ. ἤγουν καὶ καθάπερ παῖδες οἱ πολλοὶ (ἡμῶν) νῦν μὲν ἀέρας νῦν δὲ χώρας νοσώδεις, προσέτι ἐπιδημίας τινὰς ἐπιμεμφόμενοι λέγουσιν, ἐξαιρούμενοι τῆς αἰτίας κτλ. Ἐν ἀντιδιαστολῇ πρὸς τὸ πιεζοῦμεν τὸ λέγουσιν, (οἱ πολλοὶ ἡμῶν=λέγομεν) εἶναι ἀπαραίτητον, τ. ἔ. ἀποκρύπτομεν τὰς ἁμαρτίας ἡμῶν καὶ καθάπερ παῖδες ἀέρας καὶ χώρας νοσώδεις ἢ ἐπιδημίας τινὰς λέγοντες πλάττομεν ἢ προφασιζόμεθα κτλ. Φαίνεται ὅτι ὁ Πλούτ. οὕτως ἐκφραζόμενος ἐν νῷ εἶχε τὴν φυσικὴν τῶν παίδων συνήθειαν νὰ ἀποκρύπτωσι τὰ σφάλματα αὐτῶν, πᾶν ἄλλο αἰτιώμενοι ἢ ἑαυτούς. Χάριν τῆς παρομοιώσεως καθάπερ παῖδες πρβ. 112 F (= Πλάτ. Πολιτ. 10. 604 C) οὐ δεῖν οὖν προσπταίσαντας καθάπερ παῖδας ἐχομένους τοῦ πληγέντος βοᾶν, ἀλλ' ἐθίζειν κτλ.

163 A πληγαῖς κολάζονται καθάπερ παῖδες ἁμαρτάνοντες. Πλάτ. Νόμ. 11. 933 C μηδὲ καθάπερ παῖδας τοὺς πολλοὺς τῶν ἀνθρώπων δειμαίνοντας φοβεῖν.

127 A (310, 18 κέ.) οὐδὲ γὰρ ἄγαν τὸ ὑγιαῖνον σῶμα φύσει μεγάλας ἐπιθυμίας οὐδὲ δυσπειθεῖς οὐδ' ἀσυνήθεις οὐδὲ δυσεκβιάστους κτλ.

ἄγαν - φύσει] Καὶ κατὰ τὴν παραδεδομ. ταύτην γραφ. εὐοδοῦται ἴσως τὸ χωρίον, ἂν τὸ φύσει ἀποδοθῇ διὰ τοῦ γεννήσει gignet, ὡς ὁ Wytt ἐκδέχεται· ὁ Xyl. μεταφράζει αὐτὸ δι' ἐνεστῶτος. Ὁ Reiske ὕποπτον τὴν γραφ. νομίζων ἀντὶ ἄγαν τὸ εἰκ. ἄγεται, ὁ

Madv. οὐδὲ γὰρ γεννᾷ τὸ ὑγ. σῶμα, ὁ Παπαδασιλείου οὐ δεῖ γὰρ ἄγειν, ὁ Hercher ἐξ ἰδίας διορθ. ἐξέδ. οὐδὲ γὰρ ἂν τὸ ὑγιαῖνον σῶμα φύσει⟨ε⟩ μεγάλας ἐπιθυμίας κτλ.

Ἴσως γραπτ. οὐδὲ γὰρ ἐγείρει (ἢ οὐδ' ἐγείρει γὰρ) τὸ ὑγιαῖνον σῶμα φύσει μεγάλας ἐπιθυμίας. Πρβ. 61 Ε τῶν σιτίων ἔστιν ἃ... αἰδοῖα παρακινεῖ καὶ κοιλίαν ἐ γ ε ί ρ ε ι καὶ σάρκα ποιεῖ σαθρὰν κτλ. Ξενοφ. Συμπ. 2, 24 ὁ οἶνος... τὰς... φιλοφροσύνας ὥσπερ ἔλαιον φλόγα ἐ γ ε ί ρ ε ι.

127 C (311, 20 κέ.) διὸ δεῖ μὴ καθάπερ ο ἱ ἀ γ α θ ο ὶ ναύκληροι πολλὰ δι' ἀπληστίαν ἐμβαλλόμενοι, τοὐντεῦθεν ἤδη διατελοῦσιν ἀντλοῦντες καὶ ὑπεξαιροῦντες τὴν θάλατταν· οἱ ἀγαθοὶ] Πάντες οἱ κώδ. καὶ οἱ ἄλλοι ἐκδόται· ἀντ' αὐτοῦ ὁ Dübner ἐξέδ. οἱ κακοί, ὁ δὲ Βερναρδ. οἱ ἄπλοοι (ἴδ. Ἀθην. ΙΓ' σ. 518 καὶ 653)· ὁ Wytt. εἰκ. οἱ ἄθλιοι ὅπερ ἐγκρίνει καὶ ὁ J. J. Hartman. Ἀδιστάκτως γραπτ. οἱ ⟨οὐκ⟩ ἀγαθοὶ κτλ. Πρβ. Ξενοφ. Οἰκον. 6, 13 τ ο ὺ ς μὲν γὰρ ἀ γ α θ ο ύ ς τέκτονας, χαλκέας ἀ γ α θ ο ύ ς, ζωγράφους ἀ γ α θ ο ύ ς, ἀνδριαντοποιοὺς καὶ τὰ ἄλλα τὰ τοιαῦτα. Κ. Π. 1, 6, 22 ἢν γὰρ βούλῃ μ ὴ ὢ ν ἀ γ α θ ὸ ς γεωργὸς δοκεῖν εἶναι [ἀ γ α θ ό ς], ἢ ἱππεὺς ἢ ἰατρὸς ἢ αὐλητὴς ἢ ἄλλ' ὁτιοῦν κτλ. Ἱπποκρ. π. Ἀέρ., ὑδ. κτλ. § 10 (ἄνδρες) ο ὐ κ ἀ γ α θ ο ὶ πίνειν (ἴδ. παρατήρ. 135 C).

129 C (136, 15 κέ.) διὸ δεῖ σκοπεῖν οἷς ἂν ταῦτα συμπίπτῃ καὶ μνημονεύειν ὅτι ⟨τι⟩ σωματικόν ἐστιν αἴτιον ὑποστολῆς τινος ἢ κατακράσεως δεόμενον.

Οὕτω συμπληρωτ. ἴσως τὸ χωρίον.

129 C (316, 19 κέ.) Χρήσιμον δὲ πάνυ καὶ τὸ τοὺς φίλους ἐπισκεπτόμενον ἀσθενοῦντας ἐκπυνθάνεσθαι τὰς αἰτίας μὴ σοφιστικῶς μηδὲ περιέργως ἐνστάσεις καὶ παρεμπτώσεις καὶ κ ο ι ν ό τ η τ α ς λαλοῦντα καὶ παρεπιδεικνύμενον ἰατρικῶν ὀνομάτων καὶ γραμμάτων ἐμπειρίαν, ἀλλὰ ταυτὶ τὰ φαῦλα καὶ κ ο ι ν ὰ μὴ παρέργως ἀκούοντα κτλ.

Ἀντὶ κοινότητας πάντως γραπτ. καινότητας. τ. ἔ. μὴ καινότητας ἰατρικῶν ὀνομάτων... ἀλλὰ ταυτὶ τὰ φαῦλα καὶ κοινὰ (=πασίγνωστα)... πλῆθος ἡλίωσιν κόπον ἀγρυπνίαν κτλ. Πρβ. 1068 D οἱ δ' (Στωϊκοὶ) οὕτως ἐπιθυμοῦσιν ἀεί τι π α ρ ὰ τ ὰ ς κ ο ι ν ὰ ς ἐν-

νοίας φαίνεσθαι λέγοντες, ὥστε πολλάκις ἐξίστασθαι καὶ τῶν ἰδίων ἐπιθυμίᾳ καινολογίας.

129 E (317, 10 κέ.) ἂν γὰρ ἐν πόσεσι καὶ προσφοραῖς ἤ τισι πόνοις καὶ ἀταξίαις ἑτέραις τυγχάνωμεν γεγονότες κτλ.

Ἀντὶ τοῦ προσφοραῖς πάντως γραπτ. συμπεριφοραῖς ὡς δῆλον ἐκ τῶν ἐπεξηγηματικῶς ἐπιφερομένων (15 κέ.) μετὰ δ᾽ οἴνωσιν καὶ συμπεριφορὰν

130 A (318, 2 κέ.) ὥσπερ ὁ φήσας μηδὲν γράφειν παραθαλασσίοις περὶ ὀδόντων ἐδίδαξε τὴν χρείαν, οὕτω καὶ φιλολόγοις φαίη τις ἂν μὴ γράφειν περὶ γυμνασίων.

Τὸ ὀδόντων πλημμελές· ὁ Hercher μεταγράψας τὸ χωρ. ἐξ ἰδίας διορθ. ἐξέδ. περὶ λουτρῶν (διδάξειν γὰρ τὴν χρείαν), Wytt. διδάξαι γὰρ τὴν χρείαν οὕτω κτλ.· ὁ Βερναρδ. εἰκ. περὶ τριοδόντων. Ἴσως γραπτέον: μηδὲν γράφειν παραθαλασσίοις περὶ ἁλῶν αὐτὴν ἐδίδαξε τὴν χρείαν οὕτω κτλ.· Πρб. 363 E διὸ τήν τε θάλασσαν οἱ ἱερεῖς (τῶν Αἰγυπτίων) ἀφοσιοῦνται καὶ τὸν ἅλα Τυφῶνος ἀφρὸν καλοῦσι... ἐπὶ τραπέζης ἅλα μὴ προστίθεσθαι καὶ κυβερνήτας οὐ προσαγόρευουσιν, ὅτι χρῶνται θαλάττῃ καὶ τὸν βίον ἀπὸ τῆς θαλάττης ἔχουσιν.

685 F οἶμαι δὲ καὶ τὴν Ἀφροδίτην ἁλιγενῆ τοὺς ποιητὰς προσαγορεύειν... ὡς ἀπὸ θαλάττης ἐχούσης τὴν γένεσιν. εἰς τὸ τῶν ἁλῶν γόνιμον αἰνιττομένους. 854 C αἱ Μενάνδρου κωμῳδίαι ἀφθόνων ἁλῶν καὶ ἱερῶν μετέχουσιν, ὥσπερ ἐξ ἐκείνης γεγονότων τῆς θαλάττης, ἐξ ὧν Ἀφροδίτη γέγονεν. Ἀθήν. 9. 366 B καὶ ἅλας δὲ ἡδυσμένους ὁρῶ ἐν ἄλλαις παροψίσιν. Ἀνηδύντων δὲ ἁλῶν πλήρεις οἱ κυνικοί, παρ᾽ οἷς κατὰ τὸν Ἀντιφάνην, λέγει δ᾽ ἐν Κωρύκῳ τις ἄλλος κύων τῶν θαλαττίων δ᾽ ἀεὶ ὄψων ἓν ἔχομεν, διὰ τέλους δὲ τοῦθ᾽, ἅλας κτλ. Συνεσ. Ἐπιστ. 147 μὴ λόγον ἄλλως οἰηθῇς, τὸ μηδὲ μέχρις ἁλῶν τοὺς δεῦρο κεχρῆσθαι θαλάττῃ. Ἂν ἡ εἰκασία μου περὶ ἁλῶν δὲν εἶναι ἐσφαλμένη, τὸ ἀνέκδοτον παραθαλασσίοις μὴ γράφειν περὶ ἁλῶν ἴσον δύναται τῷ παραλίοις μὴ γράφειν περὶ ἁλῶν· διότι θάλασσα καὶ ἅλς εἶναι ταυτόσημα. Κατὰ τὸν αὐτὸν δὲ τρόπον ὁ Πλούτ. λέγει φιλολόγοις... μὴ γράφειν περὶ λόγου, τ. ἔ. περὶ γυμνασίων διὰ τοῦ λόγου περαινομένων.

130 B (318, 11 κέ.) ὅτι μὲν γὰρ ἰσχὺν δίδωσι τὸ πνεῦμα, δηλοῦσιν οἱ ἀλεῖπται, τοὺς ἀθλητὰς κελεύοντες ἀντερείδειν ταῖς τρίψεσι καὶ παρεγκόπτειν τείνοντας ἀεὶ τὰ πλασσόμενα μέρη καὶ ψηλαφώμενα τοῦ σώματος.

παρεγκόπτειν] Οὕτως οἱ κώδ. (ὁ Α ἐν τῇ ῴᾳ παρακάμπτειν. Turn. παρακαλύπτειν). Ἀντ' αὐτοῦ ὁ Mez. εἰκ. τὸ πνεῦμα ἐπέχειν, ὁ Wytt. θέλει παρακάμπτειν, δὲν νομίζει δ' ὅμως ὅλως ἀπόβλητον καὶ τὸ παρεγκόπτειν, ὅπερ τηρεῖ αὐτός τε καὶ ὁ Hutten καὶ ὁ Hercher. ὁ Dübner ἐξέδ. παρακάμπτειν, ὁ δὲ Βερναρδ. ἐξ εἰκ. τοῦ Madv. ἐξέδ. παρεγκάπτειν.

Τὸ ὑπὸ τῶν κωδ. πάντων παραδεδομ. παρεγκόπτειν φαίνεται ὅτι εἶναι τὸ μόνον ὀρθόν. συμπληροῦν καὶ διασαφοῦν κατὰ τὴν συνήθειαν τοῦ Πλουτ τὸ προηγούμενον συνώνυμον ἀντερείδειν. Ὅπως αἱ τρίψεις γίνωνται καλῶς, κελεύουσιν οἱ ἀλεῖπται τοὺς ἀθλητὰς νὰ φέρωσιν εἰς τὰς τρίψεις (εἰς τὴν κατὰ τὰς τρίψεις πίεσιν, τ. ἔ. ἔρεισιν) ἀντίστασιν (ἀντέρεισιν) καὶ νὰ παρεμβάλλωσιν ὡς πρόσκομμα τείνοντες ἀεὶ τὰ πλασσόμενα καὶ ψηλαφώμενα μέρη τοῦ σώματος· τοῦτο δὲ γινόμενον διὰ τῆς καθέξεως τοῦ πνεύματος δεικνύει συνάμα καὶ τὴν ἰσχὺν αὐτοῦ. Πρβ. τὸ ὑπὸ τοῦ Wytt. παρατιθέμενον παρεμφερὲς χωρ. I. 4, p. 698 (τῆς ἐκδ. αὐτοῦ) παρεγκόπτομεν ἔσθ' ὅτε τὸ πνεῦμα, κἂν τὰ μέρη τοῖς δεσμοῖς διαλαμβάνηται, χερσὶ σφόδρα πιέζομεν ἱστάμενοι (⟨ἐν⟩ιστάμενοι Wytt.) πρὸς τὴν διάδοσιν τοῦ πάθους. — Ὅτι οὔτε τὸ παρακάμπτειν οὔτε τὸ παρεγκάπτειν, ἀλλὰ τὸ παρεγκόπτειν τῶν κωδ. μόνον εὐαρμοστεῖ, πείθει ἡμᾶς καὶ ἕτερον χωρ. τῶν Ἠθ. τοῦ Πλουτ. 59 C ἀλλὰ ταὐτὰ τοῖς τῶν γυναικῶν προσκεφαλαίοις δρῶσαν (τὴν τοῦ κόλακος παρρησίαν), ἃ δοκοῦντα ταῖς κεφαλαῖς ἀντερείδειν καὶ ἀντέχειν ἐνδίδωσι καὶ ὑπείκει μᾶλλον (ἀνάλογον πρὸς τὸ προκείμενον ἀντέχειν εἶναι τὸ ἐν τῷ ἐξεταζομ. χωρ. παρεγκόπτειν)

'Ἐγκόπτων· ἐμποδίζων, διακωλύων' καὶ 'ἐγκοπήν· ἔνεδρον· ἐμπόδιον·' καὶ ἐγκόπτει· ἀνακόπτει·' Ἡσύχιος.

131 A (320, 15 κέ.) μεγάλης δὲ φλεγμονῆς καὶ σκληρᾶς γενομένης, τὸν πόνον οὐ φέρων ἀνεδέξατο τομὴν ἔξωθεν βαθεῖαν· ἡ μὲν οὖν ἄκανθα διὰ τοῦ τραύματος ἐξῃρέθη, τὸ δὲ τραῦμα χαλεπὸν γενόμενον καὶ ῥευματικὸν ἀνεῖλεν αὐτόν.

Ἀντὶ τραύματος ἀναγνωστ. ἴσως τρήματος. Ὡσαύτως καὶ 699 D ἀντὶ τρωθείσης οὐκ ἀπιθάνως ὁ Naber εἰκ. τρηθείσης· ἐν Μαρκελλ. 15 τρημάτων διώρθ. ὁ Amyot καὶ Bryan ἀντὶ τοῦ παραδεδομ. τραυμάτων· 'Τρήματα· τρυπήματα'. Ἡσύχιος.

131 C (321. 5 κέ.) ἡ δὲ θερμολουσία δίδωσι πολλὴν συγγνώμην. Οὐ γὰρ τοσοῦτον εὐτονίας ὑφαιρεῖ καὶ ῥώμης, ὅσον ὠφελεῖ πρὸς ὑγίειαν, ἐνδόσιμα τῇ πέψει καὶ μαλακὰ παρέχουσα. τοῖς δὲ τὴν πέψιν διαφεύγουσιν, ἄν γε δὴ μὴ παντάπασιν ὠμὰ καὶ μετέωρα μείνῃ, διαχύσεις ἀλύπους παρασκευάζουσα κτλ.

Ἀντὶ μαλακὰ ὁ Hercher ἐξ ἰδίας εἰκ. ἐξέδ. μαλακτικά, ὅπερ καὶ ὁ J. J. Hartman ὡς εὔστοχον ἐγκρίνει, οὐχὶ καλῶς. Πρβ. 130 C κινοῦσα μαλακῶς καὶ διαφοροῦσα πράως τὴν φωνήν.

132 C τήν τε δύναμιν τοῦ οἴνου ποιοῦντα μαλακωτέραν. αὐτ. DE ἄλλως δὲ θερμὸν ὕδωρ (ἂν) πίωμεν μετὰ τοὺς κόπους καὶ τὰς διατάσεις καὶ τὰ καύματα, χαλάσματος καὶ μαλακότητος αἰσθανόμεθα περὶ τὰ ἐντός. 134 E τῶν σιτίων ἔνια μαλακὰς ἐνδιδόντα προθυμίας καὶ διαλύοντα πράως κτλ. Ἴσως συμπληρωτ. τὸ χωρ.: ἐνδόσιμα τῇ πέψει καὶ μαλακὰ παρέχουσα ⟨τὰ σιτία⟩, τοῖς δὲ τὴν πέψιν κτλ. Πρβ. (τὸ ἀνωτέρω παρατεθὲν χωρ. 134 E), κατωτέρω (26) καὶ τὰ μὲν στερεὰ καὶ πολύτροφα τῶν σιτίων, οἷον τὰ κρεώδη κτλ. 132 A ἑτέροις σιτίοις χρῆσθαι καὶ ὄψοις κτλ.. 133 D μὴ συμφορήσαντας εἰς τὸ σῶμα τὰ σιτία... βαρύνειν τὴν πέψιν.

134 E (329. 9 κέ.) ὑφισταμένης δὲ κοιλίας οὐδὲν φάρμακον οἷα τῶν σιτίων ἔνια μαλακὰς ἐνδιδόντα προθυμίας καὶ διαλύοντα πράως κτλ. Τὸ προθυμίας πλημμελές· ἀντ' αὐτοῦ ὁ J. J. Hartman εἰκ. πέψεις ἤ τι παραπλήσιον. Πάντως γρ. παραμυθίας. Πρβ. ἐν τοῖς ἔμπροσθεν (327. 21 κέ.) ἐμέτους δὲ καὶ κοιλίας καθάρσεις ὑπὸ φαρμάκων, μιαρὰ 'παραμύθια πλησμονῆς' κτλ.. 132 D τραχύτερα ποιεῖ καὶ παροξύνει (ὁ οἶνος) τὰ πεπληγμένα, παρηγορίας δεόμενα καὶ λειότητος κτλ. Θεμιστ. 22 κόλασις γὰρ οὐκ ἦν ὁ ἐξοστρακισμός, ἀλλὰ παραμυθία φθόνου καὶ κουφισμὸς κτλ. Δίων 52 οἷς (ξεναγοῖς καὶ μισθοφόροις) αἱ καθ' ἡμέραν πλησμοναὶ καὶ ἀπολαύσεις παραμυθία τῶν πόνων καὶ τῶν κινδύνων εἰσί.

134 F (329. 19 κέ.) Ἀλλὰ τούτους μὲν ἐατέον· οἱ δ' ἄγαν αὖ πάλιν ἀκριβεῖς καὶ τεταγμένας τινὰς ἐκ περιόδου κριτικὰς ἐμβάλ-

λοντες ἀσιτίας οὐκ ὀρθῶς τὴν φύσιν μὴ δεομένην διδάσκουσι δεῖσθαι συστολῆς καὶ ποιεῖν ἀναγκαίαν τὴν οὐκ ἀναγκαίαν ὑφαίρεσιν ἐν καιρῷ ζητούμενον ἔθος ἀπαιτοῦντι.

Ὕποπτον τὸ κριτικάς. Ὁ Wytt. ἐκδέχεται αὐτὸ ἀνάλογον τῷ κρίσιμος (καὶ σπανιώτερον κριτική) ἡμέρα περὶ τῶν νόσων τοῖς παρὰ τοῖς ἰατροῖς εὐχρηστοῦντι, εἰκ. δ᾽ ὅμως κάλλιον: ἐκ περιόδου κριτικῆς conversione quasi decretoria. Ἀντὶ ζητούμενον ἔθος ὁ Mez. εἰκ. διὰ μόνον ἔθος, ὅπερ δὲν ἀποδέχεται ὁ Wytt., ὑποστηρίζει δὲ τὴν παραδεδομ. γρ. ζητούμενον, παρατηρῶν quaesita consuetudo, est adscititia, ἐπείσακτος, non naturalis. Πλημμελῆ δὲ κρίνει τὴν γρ. ἐνίων ἀντιγράφ. (Venet. Pol. Jannot.) ἀπαιδευτοῦντι ἀντὶ ἀπαιτοῦν τι.— Ἐμοὶ οὐχὶ ἀπίθανον φαίνεται ὅτι τὸ παραδεδομ. κριτικὰς εἶναι πλημμελὲς καὶ ἀντ᾽ αὐτοῦ ἀναγνωστ. καθαρτικάς, ἤγουν λυσιτελεῖς πρὸς κάθαρσιν, τ. ἔ. ἀποφυγὴν τῆς πλησμονῆς καὶ θεραπείαν καὶ διατήρησιν καλῆς ὑγιείας. Τοῦτο τοὐλάχιστον δύναταί τις νὰ εἰκ. ἔκ τε τῶν συμφραζομένων τοῦ χωρίου: τὴν φύσιν μὴ δεομένην διδάσκουσι δεῖσθαι συστολῆς καὶ ποιεῖν ἀναγκαίαν τὴν οὐκ ἀναγκαίαν ὑφαίρεσιν κτλ. καὶ ἐκ τῶν λεγομένων ἔμπροσθεν ἐν τῷ 22 κεφ. ἔτι συμφανέστερον γίνεται, ὅτι πρόκειται περὶ καθάρσεων, ἤτοι καθαρτικῶν βοηθημάτων, ἐκεῖ μὲν φαρμάκων, ἐνταῦθα δὲ ἀσιτιῶν περιοδικῶν. Πρβ. (327, 21 κέ.) ἐμέτους δὲ καὶ κοιλίας καθάρσεις ὑπὸ φαρμάκων μιαρὰ 'παραμύθια πλησμονῆς'. ἄνευ μεγάλης ἀνάγκης οὐ κινητέον κτλ. (328, 21 κέ.) ἔνιοι τοῦ παντὸς διαμαρτάνουσιν... εἰς τὸ σῶμα κόκκους τινὰς Κνιδίους καὶ σκαμωνίαν καὶ δυνάμεις ἄλλας ἀσυγκράτους καὶ ἀγρίας καὶ καθαρμοῦ δεομένας μᾶλλον ἢ καθῆραι τὴν φύσιν δεομένας κτλ. Χάριν τοῦ καθαρτικὰς πρβ. 999 F τὸν οὖν ἐλεγκτικὸν λόγον ὥσπερ καθαρτικὸν ἔχων φάρμακον ὁ Σωκράτης ἀξιόπιστος ἦν κτλ.

135 C (330, 17 κέ.) πρὸς οὐδὲν γὰρ ἑαυτῷ χρήσαιτ᾽ ἄν τις ὑγιαίνοντι κρεῖττον ἢ πρὸς πολλὰς καὶ ἀφιλανθρώπους πράξεις. καὶ ἀφιλανθρώπους] 'Non ausus sum mutare, ut in omnis libris proditum: forte quid excidit. Xylander φιλανθρώπους vertendo reddidit: quod probo. Forte pro πολλὰ legendum πολιτικά.' Wytt. καὶ ὁ Dübner ἐξέδ. ἀφιλανθρώπους, ὁ δὲ

Hutt. καὶ Hercher φιλανθρώπους κατὰ τὴν μετάφρ. τοῦ Xyl. Κατὰ τὸν Βερναρδ. οἱ κώδ. παρέχουσιν καὶ οὐ φιλανθρώπους, αὐτὸς δὲ ἐξέδ. ἐξ ἰδίας διορθ. ὡς σὺ (ἀντὶ καὶ οὐ) φιλανθρώπους. Φαίνεται ὅτι ἡ ἀρχικὴ γρ. εἶναι καὶ φιλανθρώπους, ὡς ὁ Xyl. μετέφρασεν ἢ ἴσως πιθανώτερον καὶ ⟨οὐκ⟩ ἀφιλανθρώπους. Ἐπ᾽ οὐδενὶ λόγῳ δύναται νὰ θυσιασθῇ ὁ καὶ συνδέων κατὰ τὴν γνωστὴν ἐν τῷ Ἕλληνι λόγῳ χρῆσιν τὸ ἐπίθ. πολὺς πρὸς ἓν ἢ πλείονα ἐπιφερόμενα ἐπίθετα. Πρβ. Πλάτ. Φαῖδρ. 244 B αἵ τ᾽ ἐν Δωδώνῃ ἱέρειαι μανεῖσαι μὲν πολλὰ δὴ καὶ καλὰ... τὴν Ἑλλάδα εἰργάσαντο αὐτ. Συμπ. 175 E οἶμαι γάρ με παρὰ σοῦ πολλῆς καὶ καλῆς σοφίας πληρωθήσεσθαι. Ξενοφ. Ἀπομνημ. 2. 9. 6 ὁ δὲ συνειδὼς αὑτῷ πολλὰ καὶ πονηρὰ πάντ᾽ ἐποίει κτλ.. αὐτ. 3, 11. 4 θεραπαίνας πολλὰς καὶ εὐειδεῖς καὶ οὐδὲ ταύτας ἠμελημένας κτλ. (ἐνίοτε ἀντιστρόφως. οἷον Λυσί. 24. 19 συλλέγεσθαί φησιν ἀνθρώπους ὡς ἐμὲ πονηροὺς καὶ πολλοὺς κτλ. Δημοσθ. 37. 57 πολλὰ καὶ δεινὰ πέπονθας:... τόν γε δεινά σε καὶ πόλλ᾽ εἰργασμένον).

Ὡς γνωστὸν δὲ πολλάκις χάριν λιτότητος ἀντὶ καταφατικῆς ἐκφράσεως γίνεται χρῆσις τῆς ἀντιθέτου ἀρνητικῶς λαμβανομένης. Πρβ. 27 B τῆς Πηνελόπης τοῖς μνηστῆρσι προσδιαλεγομένης οὐκ ἀπανθρώπως. 141 B διελέχθη πρὸς αὐτὴν οὐκ ἀγεννῶς οὐδ᾽ ἀσυνέτως (=γενναίως καὶ συνετῶς), 136 E τῶν ἡδονῶν τὰς οὐκ ἀναγκαίας (=τὰς περιττὰς) Σοφ. Αἴ. 551 καὶ γένοι᾽ ἂν οὐ κακὸς (=ἀγαθός), καὶ πλχ. (ἰδ. χωρ. 127 C καὶ τὴν παρατήρ.). Οὕτω καὶ οὐκ ἀφιλανθρώπους· ἐν τῷ ἐξεταζομ. χωρ.=φιλανθρώπους.

138 D (338, 11 κέ.) Ἐν Βοιωτίᾳ τὴν νύμφην κατακαλύψαντες ἀσφαραγωνιᾷ στεφανοῦσιν· ἐκείνη τε γὰρ ἥδιστον ἐκ τραχυτάτης ἀκάνθης καρπὸν ἀναδίδωσιν, ἥ τε νύμφη κτλ.

ἀσφαραγωνιᾷ] Οὕτως οἱ κώδ. (ἢ ἀσπαραγωνιᾷ) καὶ ἄλλοι ἀσπαράγων ἰᾷ. Ὁ Hutt. ἐξέδ. ἀσφραγωνιᾷ, ὁ δὲ Hercher ἀσφραγία. Ὕποπτος ἡ γραφή· διότι οὐδαμοῦ ἄλλοθι ἀπαντᾷ ἡ λέξις. Τοῦ ἀσπαράγου (Ἀττ. ἀσφαράγου) παρὰ Πλουτ. μνεία γίνεται ἐν Ηθ. 553 C γεωργὸς οὐκ ἐκκόπτει τὴν ἄκανθαν, ἂν μὴ λάβῃ τὸν ἀσπάραγον (καρπόν), 663 D ἀντὶ δ᾽ ἀσπαράγου γήτεια καὶ σκολύμους παρασκευάζομεν κτλ.. Καῖσ. 17 τοῦ δειπνίζοντος αὐτὸν ἐν

Μεδιολάνῳ ξένου Οὐαλλερίου Λέοντος παραθέντος ἀσπάραγον καὶ μύρον ἀντ᾽ ἐλαίου καταχέαντος κτλ. Ἀσπάραγος δὲ εἶναι οὐ μόνον ὁ καρπὸς ἀλλὰ καὶ τὸ φυτόν, ὅπερ καὶ ἀσπαραγιὰ (ἀσφαραγιὰ) μετὰ τῆς ῥίζης καὶ τοῦ καυλοῦ λέγεται. Πρβ. Θεόφρ. Φυτ. Ἱστ. 6, 4. 2 ὁ δὲ ἀσφάραγος βαθύρριζόν τε εὖ μάλα καὶ πολύρριζον πυκναῖς ταῖς ῥίζαις... ἀναβλαστάνει δὲ ὁ καυλὸς ἐκ τῆς ἀσφαραγιᾶς τοῦ ἦρος καὶ ἐδώδιμός ἐστιν. Ἀντὶ ἀσφαραγωνιᾷ ὁ Βερναρδ. εἰκ. ἀσφαραγίᾳ. Ἐμοὶ πιθανώτερον φαίνεται ὅτι τὸ πλημμελὲς ἀσφαραγωνιᾷ προῆλθεν ἐκ παραφθορᾶς τῆς ἀρχικῆς γραφῆς ἀσφαράγῳ (ἢ ἀσπαράγῳ) ταινίᾳ στεφανοῦσιν· — ἤγουν καταλύψαντες ἀσφαράγῳ τὴν νύμφην (τ. ἔ. τὴν κεφαλὴν τῆς νύμφης) στεφανοῦσι ταινίᾳ. Πρβ. Περικλ. 28 καταβαίνοντα δ᾽ αὐτὸν (τὸν Περικλέα) ἀπὸ τοῦ βήματος αἱ μὲν ἄλλαι γυναῖκες ἐδεξιοῦντο καὶ στεφάνοις ἀνέδουν καὶ ταινίαις ὥσπερ ἀθλητὴν νικηφόρον κτλ. Πλάτ. Συμπ. 212 Ε ταινίας ἔχοντα ἐπὶ τῆς κεφαλῆς πάνυ πολλάς. Λεξ. ῥητ. Bekk. Anecd. 308, 3 Ταινία, στέφανος δάφνης ἐρίῳ δεδεμένος.

139 Β (339, 24 κἑ.) Τὴν Πασιφάην ἀπιστοῦσι βοὸς ἐρασθῆναι βασιλεῖ συνοῦσαν, ἐνίας ὁρῶσαι τοὺς μὲν αὐστηροὺς καὶ σώφρονας βαρυνομένας, τοῖς δ᾽ ἐξ ἀκρασίας καὶ φιληδονίας κεκραμένοις ὥσπερ κυσὶν ἢ τράγοις ἥδιον συνούσας. Ἀντὶ κεκραμένοις κώδ. τινες παρέχουσι κρεμαμένοις, ἄλλοι δὲ κρεμαμένων. Ὁ Hercher ἐξέδ. ἐξ εἰκ. τοῦ Κοραῆ κεκρατημένοις, ἴσως ἄνευ ἀνάγκης· τὸ παραδεδομ. κεκραμένοις ἀντιδιαστελλόμενον πρὸς τὸ αὐστηροὺς ἔχει καλῶς. Πρβ. 142 Β ἂν δ᾽ ἄρα φύσει τις αὐστηρὰ καὶ ἄκρατος γένηται καὶ ἀνήδυντος, εὐγνωμονεῖν δεῖ τὸν ἄνδρα κτλ. Ἐκδέχου: τοῖς δ᾽ ἐξ ἀκρασίας (= ἀκρατείας) καὶ φιληδονίας ὥσπερ κυσὶν ἢ τράγοις κεκραμένοις (= ὥσπερ κυνῶν ἢ τράγων κρᾶσιν ἔχουσιν) ἥδιον συνούσας. Χάριν τοῦ ἀκρᾰσία = ἀκράτεια, ἀντίθ. τοῦ ἐγκράτεια, πρβ. Ἀριστοτ. Ἠθ. Νικ. 7, 4. 6 (Did. ὑποληπτέον μόνον ἀκρασίαν καὶ ἐγκράτειαν εἶναι, ἥτις ἐστὶ περὶ ταὐτὰ τῇ σωφροσύνῃ καὶ τῇ ἀκολασίᾳ, αὐτ. Ἠθ. Μεγ. 2, 6, 1 ὑπὲρ δὲ ἀκρασίας καὶ ἐγκρατείας πρῶτον ἂν δέοι εἰπεῖν κτλ., αὐτ. 2, 6, 10 πότερον δὲ ἡ ἀκρασία καὶ ὁ ἀκρατὴς ἐν ἅπασιν ἔσται...; κτλ. Πλουτ. Ἠθ.

445 B οὐ γὰρ ἂν διέφερε σωφροσύνης ἐ γ κ ρ ά τ ε ι α, καὶ ἀκολασίας ἀ κ ρ α σ ί α περὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας κτλ. Ἀμφότερα δὲ ἀκρασία καὶ φιληδονία ὡς ἐν τῷ ἐξεταζομ. χωρ., εὕρηνται καὶ 126 E ἐξαιρούμενοι τῆς αἰτίας τ ὴ ν ἀ κ ρ α σ ί α ν κ α ὶ φ ι λ η δ ο ν ί α ν.

150 A (367. 4 κέ.) ἡμίονος δ' ἔφη (ὁ Αἴσωπος) 'Λυδὸς ἐν ποταμῷ τῆς ὄψεως ἑαυτοῦ κατιδὼν εἰκόνα καὶ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος ὥρμησε θεῖν ὥσπερ ἵππος ἀναχαιτίσας· εἶτα μέντοι συμφρονήσας ὡς ὄνου υἱὸς εἴη, κατέπαυσε ταχὺ τὸν δρόμον καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυμόν'· ὁ δὲ Χίλων λακωνίσας τῇ φωνῇ 'καὶ τύνη' ἔφη 'βραδὺς κ α ὶ τ ρ έ χ ε ι ς τ ὸ ν ἡ μ ί ο ν ο ν'· ἐκ τούτου παρῆλθε μὲν ἡ Μέλισσα κτλ. καὶ τρέχεις τὸν ἡμίονον] Οὕτω πάντες οἱ ἄλλοι κώδ., εἷς δὲ μόνον ὁ B καὶ τρέχεις ὡς ἡμίονος. Χωρίον σκοτεινὸν καὶ πιθανώτατα ἐφθαρμένον. Ὁ Mez. καὶ Reiske εἰκ. καὶ τρ. κατὰ τὸν ἡμίονον. Ὁ Wytt. οὔτε τὴν εἰκ. ταύτην οὔτε τὴν γραφ. τοῦ B ὡς ἡμίονος ἐγκρίνων, ὑποστηρίζει τὴν κοινὴν τρέχεις τὸν ἡμίονον παρατηρῶν *curris mulum*, elegander dicitur pro *curris ut mulus, imitaris currendo mulum*. Ἡ ἐκδοχὴ αὕτη ἐπεκράτησε· κατ' αὐτὴν δὲ καὶ ὁ Kaibel εἰκ. καὶ τρ. τὸν ἡμιόνου. Τί δὲ λέγων τοῦτο ὁ Χίλων πρὸς τὸν Αἴσωπον ἀμέσως μετὰ τὸν μῦθον αὐτοῦ ἐννοεῖ, ὅτι δηλαδὴ ταχέως τρέχει ἢ βραδέως, δὲν εἶναι σαφές. Ἄλλως καὶ ἴσως πιθανώτερον ἐκδέχεται καὶ πειρᾶται νὰ διορθώσῃ τὸ χωρίον ὁ Wilamowitz (Hermes 1890 σ. 213.) 'Chilon lobt den Witz, indem er ihn fortsetzt; auch für ihn ist der Bastard ἡμίονος, und Aesop der Krüppel läuft besser als er: er hat ihn mit seiner Fabel gepackt. 'κτλ.' εἰκ. δὲ: καὶ τρέχεις ⟨ὑπὲρ⟩ τὸν ἡμίονον κτλ. Παλαιογραφικῶς ἡ εἰκ. αὕτη εἶναι δυσεξήγητος· ὅσα ὁ Βερναρδ. (Τόμ. Δ' Praef. σ. XXIV κέ.) κατὰ τῆς ἐκδοχῆς λέγει, δέν μοι φαίνονται ὀρθά. Ἐπὶ τῇ βάσει τῆς ἐκδοχῆς ταύτης τὸ χωρίον εὐοδοῦται, νομίζω, κάλλιστα, μικρόν τι μόνον μεταγραφόμενον ὧδε: καὶ τύνη... βραδὺς κ α τ α τ ρ έ χ ε ι ς τὸν ἡμίονον κτλ., ἤγουν ἐπεὶ συμφρονήσας (ὁ ἡμίονος) ὡς ὄνου υἱὸς εἴη κατέπαυσε ταχὺ τὸν δρόμον καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυμόν, (οὕτω) καὶ σὺ βραδὺς (ὤν, ὅμως) τρέχων καταλαμβάνεις αὐτὸν καὶ

λυμαίνει (= κατονειδίζεις)' ἐν ἄλλαις λέξ. τὸν νόθον Ἀλεξίδημον, ἐπεὶ συνεφρόνησε ταπεινωθεὶς ἐκ τῶν λόγων τοῦ Θαλοῦ καὶ ἀπεχώρησε, τότε καὶ σὺ ἐπιτιθέμενος γελοιοποιεῖς, οὐχὶ πρότερον. Ἡ λακωνικὴ παρατήρησις τοῦ Χίλωνος πρὸς τὸν Αἴσωπον στενῶς συναπτομένη διὰ τοῦ συνδ. καὶ ('καὶ τύνη') πρὸς τὸν προηγούμενον μῦθον αὐτοῦ, ἀναφέρεται μόνον εἰς τὸ τέλος τοῦ μύθου: κατέπαυσε ταχὺ τὸν δρόμον καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυμόν. Οὕτως ὁ ἔπαινος τῆς ταχύτητος τοῦ βραδέως Αἰσώπου γίνεται εἰρωνεία οὐχ ἧττον εὔστοχος τῆς εὐφυοῦς ὑπ' αὐτοῦ γελοιοποιήσεως τοῦ νόθου Ἀλεξιδήμου· ὥστε ὁ Πλούτ. γράφων τὸ χωρ. τοῦτο δὲν εἶχεν, νομίζω, ἐν νῷ τὸ Ὁμηρικὸν καὶ βραδὺς κιχάνει ὠκὺν (Ὀδ. θ. 331 Ἥφαιστος, ἐὼν βραδύς, εἷλεν Ἄρηα, ὠκύτατόν περ ἐόντα θεῶν), ὡς δέχεται ὁ Wilamowizt, ἀλλὰ παραπλήσιόν τι καὶ ἀνάλογον πρὸς τὸ παρὰ Δίωνι Κασσίῳ 48, 3 ἐν γὰρ δὴ τοῖς τοιούτοις τό τε ἀπολωλὸς πάντες ἀεὶ κατατρέχουσι, καὶ τὸ κρατῆσαν τιμῶσι.—Οὕτω διορθούμενον καὶ ἑρμηνευόμενον τὸ χωρ. εὐαρμοστεῖ κάλλιστα πρὸς τὸ καθόλου πρόσωπον τοῦ Αἰσώπου ἐν τῷ κύκλῳ τῶν Σοφῶν. Τὰ εὐφυῆ γελοῖα ἐπεισόδια, δι' ὧν ποικίλλει χωρὶς νὰ διαταράττῃ τὰς σπουδαίας συζητήσεις τῶν σοφῶν ἐπαινοῦνται ἑκάστοτε ἀλλ' οὐκ ἄνευ εἰρωνείας τινὸς ἐπιτιμητικῆς. Καὶ αὐτὸς δὲ ἑκάστοτε ἀμύνεται καλῶς (πρβ. 156 A καὶ ὁ Χίλων 'ὀρθῶς' ἔφη 'Αἴσωπος ἠμύνατο, μικρὸν ἔμπροσθεν ἐπιστομισθεὶς ὑφ' ἡμῶν). Δεξιωτάτη καὶ τοῦτο οἰκονομία ἐν τῷ Συμποσίῳ τοῦ Πλουτάρχου· παρὰ τὴν σπουδαίαν ἐπιστημονικὴν σοφίαν (τοὺς ἑπτὰ σοφοὺς) ἁμιλλᾶται ἡ πρακτικὴ λαϊκὴ (ὁ Αἴσωπος· ἴδ. καὶ Pauly-Wissowa, R. Encyclop. ἐν τῇ λ. Fabel, 12ος ἡμίτομ. στ. 1709 κέ.).

Χάριν τοῦ κατατρέχεις πρβ. 512 DE ὅταν δὲ φαίνηται τῷ ὄντι βουλόμενος μαθεῖν (ὁ πυνθανόμενος) ἐθιστέον ἐφιστάναι καὶ ποιεῖν τι διάλειμμα μεταξὺ τῆς ἐρωτήσεως καὶ τῆς ἀποκρίσεως... καὶ μὴ κατατρέχειν μηδὲ καταχωννύναι τὴν ἐρώτησιν (=μὴ τρέχοντα λυμαίνεσθαι τὴν ἐρώτησιν καὶ ἐπισκοτεῖν). Κυριολεκτεῖται τὸ ῥ. ἐπὶ πορθήσεως, δῃώσεως χώρας δι' ἐπιδρομῆς. 'Κατατρεχόντων· ληιζομένων, πορθούντων... Κατατρέχω· ἐπὶ μὲν ἐμψύχων γενικῇ... ἐπὶ δὲ ἀψύχων αἰτιατικῇ. Κατατρέχει Αἴγυπτον, ληίζεται Συρίαν... Κατέτρεχεν· ἐπόρθει, ἐληίζετο, ἐδῄου.' Σουΐδας. Πρβ. Πλουτ. Περικλ

19, Ρωμ. 24· ἀπαντᾷ δὲ καὶ αἰτιατ. προσώπου. Πρβ. Δίωνος Κάσσ. 46, 22 κακηγορῶν τε αὐτόν... καὶ κατατρέχων, ἐφ' οἷς ἄλλους ἐπαινεῖ κτλ. καὶ τὸ ἀνωτέρω τοῦ αὐτοῦ παρατεθὲν χωρ. 48, 3.

150 Β (367, 11 κέ.) ἐκ τούτου παρῆλθε μὲν ἡ Μέλισσα καὶ κατεκλίθη παρὰ τὸν Περίανδρον. ἡ δ' Εὔμητις ἐκάθισε παρὰ τὸ δειπνεῖν· καὶ ὁ Θαλῆς ἐμὲ προσαγορεύσας κτλ. παρὰ τὸ δειπνεῖν] Οὕτω πάντες οἱ κώδ. πλὴν τοῦ Ἀθώου παρέχοντος παρὰ τὸ δεῖπνον, ὅπερ ἐξέδ. ὁ Βερναρδ. καὶ πρότερον ἐξ ἰδίας εἰκ. ὁ Hercher. Ἀλλ' ἡ φρ. ἐκάθισε παρὰ τὸ δειπνεῖν (ἢ παρὰ τὸ δεῖπνον) εἶναι ἀήθης· ὅθεν ὁ Wytt. ἀντὶ παρὰ τὸ δειπνεῖν εἰκ. παρὰ τὸν Κλεόβουλον, ὁ Wilamowitz πρὸ τῶν ποδῶν ἐκείνης (ἢ παρὰ τὴν κλίνην). Ὁ Βερναρδ. διδάσκων (Τόμ. Δ'. Praef. σ. XXV) ὅτι ἡ λ. δεῖπνον εἶναι ἐν χρήσει καὶ ἐπὶ τοπικῆς ἐκδοχῆς, ὑποστηρίζει τὴν γρ. παρὰ τὸ δεῖπνον. Ἀλλὰ καὶ τούτου δοθέντος, ἀπορεῖται τίνα λόγον ἔχει ἐνταῦθα προσδιορισμὸς οἴκοθεν αὐτονόητος· ὡς καὶ οἱ κατακλιθέντες πάντες ἐκάθισε καὶ ἡ Εὔμητις εἰς τὸ δεῖπνον. Κάλλιον ἴσως εὐοδοῦται τὸ προθετόπτωτον τοῦτο συναπτόμενον πρὸς τὰ ἐπιφερόμενα ὧδε: ἡ δ' Εὔμητις ἐκάθισε· παρὰ τὸ δεῖπνον δ' (ἢ παρὰ δὲ τὸ δεῖπνον) ὁ Θαλῆς κτλ. ἤγουν παρῆλθε μὲν ἡ Μέλισσα καὶ κατεκλίθη παρὰ τὸν Περίανδρον. ἡ δ' Εὔμητις ἐκάθισε (ἐξυπάκ. παρὰ τὸν Περίανδρον). Παρὰ δὲ τὸ δεῖπνον προσαγορεύσας με ὁ Θαλῆς... εἶπε κτλ. Ἐν τοῖς συμποσίοις τῶν ἀρχαίων οἱ πολὺ νεώτεροι τὴν ἡλικίαν δὲν κατεκλίνοντο, ἀλλ' ἐκαθέζοντο παρά τινα οἰκεῖον. Πρβ. καὶ 160 D καθίσας (ὁ Γόργος, ὁ υἱὸς τοῦ Περιάνδρου) παρ' αὐτόν. Ξενοφ. Συμπ. 1, 8 Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο, οἱ δὲ ἄλλοι ὥσπερ εἰκὸς κατεκλίθησαν. Ὅτι οὕτω πρέπει νὰ εὐοδωθῇ τὸ χωρ., δῆλον γίνεται καὶ ἐκ τῶν μετὰ ταῦτα λεγομένων (23) τοιαῦτα μὲν ἐκεῖνοι πρὸς ἀλλήλους ἅμα δειπνοῦντες ἔπαιζον κτλ. Ἂν δὲ ἡ ἐκδοχὴ αὕτη καὶ εἰκ. εἶναι ὀρθή, τότε ἴσως μᾶλλον εὐαρμοστεῖ τὸ ὑπὸ τῶν πλείστων κωδ. παραδεδομ. παρὰ τὸ δειπνεῖν.

Ὅτι καὶ κατὰ τὴν διάρκειαν τοῦ δείπνου ἔθος ἦτο νὰ προσδιαλέγωνται, διδασκόμεθα καὶ ἄλλοθεν. Ἐν τῷ τοῦ Ξενοφ. Συμπ. τὴν παρὰ τὸ δεῖπνον σιωπὴν διακόπτει ὁ γελωτοποιὸς Φίλιππος (1, 11): ἐκεῖνοι μὲν οὖν σιωπῇ ἐδείπνουν... Φίλιππος δ' ὁ γελωτοποιὸς

κρούσας τὴν θύραν κτλ., ἐν δὲ τῷ Πλάτ. Συμπ. κατὰ τὸ μέσον τοῦ δείπνου, εἰσερχομένου τοῦ Σωκράτους, παρεμπίπτει μεταξὺ αὐτοῦ καὶ τοῦ ἑστιῶντος Ἀγάθωνος οὐχὶ μακρὸς διάλογος περὶ τῆς κατακλίσεως, μεθ' ὃν ἐξακολουθεῖ τὸ δεῖπνον μέχρις οὗ καὶ ὁ Σωκράτης καὶ οἱ ἄλλοι πάντες δειπνήσαντες (175 C κέ.) ἐτράποντο πρὸς τὸν πότον κτλ.

150 E (368, 16 κέ.) 'πάνυ μὲν οὖν' ἔφη 'γλώσσης ἀνθρωπίνης συνιέντες, οὐχ ὥ σ π ε ρ δ' ο ἱ Ἕλληνες οἰόμενοι Σκυθῶν διαλέγεσθαι βέλτιον ὅμως τοὺς θεοὺς κτλ.

οὐχ ὥσπερ δ' οἱ Ἕλληνες] Αὕτη εἶναι ἡ κοινή· ὁ Reiske εἰκ. οὐχ ὥσπερ οἵδε οἱ Ἕλληνες. ἴσως ὀρθῶς σὺν τῷ Petav. κώδ. ἐξέδ. ὁ Hutten οὐχ ὥσπερ οἱ Ἕλληνες (ἢ γραπτ.: ὥσπερ νὴ Δί' Ἕλληνες?).

150 E (368, 22 κέ.) διὸ καὶ Κλεοβουλίνη πρὸς τὸν Φρύγιον αὐλὸν ἠνίξατο 'κνήμη νεκρογόνοσαιμε κερασφόρῳ οὖας ἔκρουσεν' ὥστε θαυμάζειν τὸν ὄνον εἰ παχύτατος καὶ ἀμουσότατος ὢν τἆλλα λεπτότατον καὶ μουσικώτατον ὀστέον παρέχεται'. κνήμη—ἔκρουσεν] Οὕτως ἐξέδ. ὁ Βερναρδ. Οἱ κώδ. παρέχουσι: κνήμη νεκρογόνος αἷμα (ἢ νεκρογόνοσαιμε ἢ νεβρογόνοσαιμε) κερασφόρω (ἢ κερασφόρωι) οὖας ἔκτι κρούσε ὥστε θαυμάζειν κτλ.· ἄλλοι δέ: νεβρογόνος κνήμη κερασφόρον οὖας ἦξε θαυμάζειν ἕκατι κρούσε τὸν ὄνον κτλ. (ἰδ. H Demoulin, La tradition manuscrite du Banquet des Sept Sages de Plutarque, Musée Belge, Revue de philologie classique 1904 σ. 286 καὶ 1913 σ. 65).

Χωρίον δεινῶς ἐφθαρμένον. Ὁ Wytt. εἰκ. Νεβρογόνος κνήμη κεράσβολον οὖας ἦσε ἕκατι κρούσεως· ὥστε θαυμάζειν τὸν ὄνον κτλ. Ὁ G. Hermann παρὰ Βερναρδ. νεβρόγονός με—ἔκρουσεν, ὁ Βερναρδ. νεκρὸς ὄνος με γερασφόρῳ κτλ. Ἡ γραφὴ τῶν κρειττόνων κατὰ τὸν Demoulin (ἔ. ἀ.) κωδ. εἶναι: κνήμη νεβρογόνοσαιμε κερασφόρωι οὖας ἔκτι κρούσε ὥστε θαυμάζειν κτλ. Ἐκ τῆς γραφ. ταύτης ἴσως δύναταί τις οὐχὶ ἀπιθάνως νὰ εἰκ: 'κνήμη ἁ β ρ ὸ ν ὄ ν ο ς με κερασφόρῳ οὖατ' ἔκρουσεν' ὥστε θαυμάζειν τὸν ὄνον κτλ. ἤγουν κνήμη κερασφόρῳ ὄνος ἁβρῶς ἔκρουσε τὰ ὦτά μου, τ. ἔ. Φρύγιος αὐλὸς περιπαθῶς ἔκρουσε τὰ ὦτά μου. Τὸ ἁβρὸν ἐπιρρηματικῶς = τρυφερῶς, ἁπαλῶς, τ. ἔ. περιπαθῶς· 'Ἁβρόν' παρὰ Ἡροδότῳ καλόν, αὔθαδες, σεμνόν, τρυφερόν. — Ἁβρός, λαμπρός, τρυφερός, ἁπαλός· ἐν Ἐπιγράμματι 'Ἁ β ρ ὸ ν ἐ π ι τ ρ ύ-

ζων κιθάρας ὕπερ ἕζετο τέττιξ.' Σουΐδας. Πρβ. Λουκιαν. Ἑταιρ. Διάλογ. 14, 4 αἱ μὲν γὰρ Χάριτες, ὦ Διοσκόρω, πολλαί, καὶ μάλιστα ὁπόταν ᾄδῃ καὶ ἁβρὸς εἶναι θέλῃ, ὄνος αὐτολυρίζων φασίν.

Τὸ παραδεδομ. κερασφόρῳ ἔχει καλῶς. Αὐλὸς (ἐκ τῆς κνήμης τοῦ ὄνου κατασκευαζόμενος) κερασφόρος ἦτο εἶδος αὐλοῦ καὶ κέρας καλούμενον καὶ ἔλυμος, διότι ἐν τῷ ἀριστερῷ βραχίονι εἶχε πρόσθετον κέρας· τοιοῦτος δὲ ἦτο ὁ Φρύγιος. Πρβ. Ἀθήν. 4, 185 A ἐν δὲ τῷ β' Φοίνικι ὁ αὐτὸς Ἴων φησίν· 'ἔκτυπον ἄγων βαρὺν αὐλὸν τρέχοντι ῥυθμῷ', οὕτω λέγων τῷ Φρυγίῳ· βαρὺς γὰρ οὗτος· παρ' ὃ καὶ τὸ κέρας αὐτῷ προσάπτουσιν κτλ., αὐτ. 4, 176 F τοὺς γὰρ ἐλύμους αὐλοὺς... οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους κτλ. 'Ἐγκεραύλης· ὁ τοῖς Φρυγίοις αὐλῶν· ἔχει γὰρ ὁ ἀριστερὸς προσκείμενον κέρας... Ἐγκεραυλῆσαι· τὸ αὐτό· προσκειμένου γὰρ κέρατος τῷ αὐλῷ ᾖδον· ὅθεν καὶ ὁ ἐγκεραύλης'. Ἡσύχιος.

Χάριν τοῦ οὔατ' ἔκρουσεν πρβ. Φιλοστρ. Βί. Σοφιστ. 1, 25. 7 ἵππων μ', ἔφη (ὁ Ἡρώδης), ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει, ἐνδεικνύμενος δὴ τὸ ἐπίκροτον καὶ ὑψηχὲς τῶν λόγων.

152 E (373, 12 κἑ.) Καὶ ὁ Χίλων ὑπολαβὼν ἔφη 'διὰ τοῦτό τοι μᾶλλον ἀφεκτέον αὐτοῦ'. πάλιν δ' ὁ Αἴσωπος 'καὶ μήν' ἔφη 'Θαλῆς ἔδοξεν εἰπεῖν ὅτι τάχιστα γηράσει'.

Τίς εἶναι ὁ νοῦς τοῦ λόγου τούτου τοῦ Αἰσώπου καὶ ἡ σχέσις πρὸς τὰ προηγούμενα, δὲν εἶναι φανερόν. Ὁ Wytt. εἰκάζει ὅτι ἴσως ἀναφέρεται εἰς τὴν ἔμπροσθεν (372, 2 κἑ.) ἐκφρασθεῖσαν γνώμην τοῦ Θαλοῦ. Ἴσως συμπληρωτέον τὸ χωρ. ὧδε: 'καὶ μὴν ⟨εὖγ'⟩' ἔφη 'Θαλῆς ἔδοξεν εἰπεῖν ὅτι ⟨ἄριστον ὅ,τι⟩ τάχιστα γηράσκειν'. Λέγει δ' ἴσως τοῦτο ἐπὶ τὸ ἀστειότερον ὁ Αἴσωπος ἕνεκα τῆς ὁμοιότητος τοῦ μεθύειν πρὸς τὸ γῆρας. Πρβ. 652 F μάλιστα, ὡς εἰρήκαμεν, ἐοίκασι τοῖς πρεσβύταις οἱ μεθύοντες· διὸ καὶ πρωϊαίτατα γηρῶσιν οἱ φίλοινοι.

154 EF (378, 16 κἑ.) ἕκτος δὲ Πιττακός, ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν καὶ τοῖς ἀγαθοῖς οὐκ ἔξεστι μὴ ἄρχειν· μετατραπεὶς δ' ὁ Χίλων ἀπεφήνατο κτλ. Ἀντὶ τοῦ ὑπόπτου μετατραπείς, ὅπερ ἐλλείπει παρὰ τῷ Στοβαίῳ, ὁ Wytt. εἰκ. μετὰ τούτους, ὁ J. J. Hartman μεταστραφείς. Ἴσως κάλλιον εὐδοξοῦ-

ται συναπτόμενον πρὸς τὰ προηγούμενα: οὐκ ἔξεστι μὴ ἄρχειν ⟨μὴ⟩ μετατραπεῖσιν· ὁ δὲ Χίλων ἀπεφήνατο κτλ. ἤγουν μὴ μεταβαλοῦσι τρόπους τοῖς μὲν ἀγαθοῖς (ἐξ ἀγαθῶν) εἰς πονηρούς, τοῖς δὲ πονηροῖς τἀνάπαλιν. Πρβ. Ἡρόδ. 7, 18 ἐγὼ μὲν καὶ αὐτὸς τράπομαι καὶ τὴν γνώμην μετατίθεμαι. Θουκ. 4, 106 οἱ δὲ πολλοὶ (τῶν Ἀμφιπολιτῶν) ἀκούσαντες ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας... ...ἐπειδὴ καὶ τὸ πλῆθος ἑώρων τετραμμένον κτλ.

